with-her was the seeming mother wool both to-card teaching
καὶ ἀτράκτους στρέφειν καὶ γάμου μνημονεύουσα· ὁ
and spindles to-twirl and of-marriage making-mention —
δὲ Δάφνις, οἷα σχολὴν ἄγων καὶ συνετώτερος κόρης,
but Daphnis as leisure having and more-intelligent than-a-girl
τοιόνδε σόφισμα εὗρεν ἐς θέαν τῆς Χλόης.
such device found for sight — of-Chloe
Πρὸ τῆς αὐλῆς τοῦ Δρύαντος, ὑπ' αὐτῇ τῇ αὐλῇ, μυρρίναι 5.1
before the courtyard — of-Dryas under itself the courtyard myrtles
μεγάλαι δύο καὶ κιττὸς ἐπεφύκει· αἱ μυρρίναι πλησίον
great two and ivy had-grown the myrtles near
ἀλλήλων, ὁ κιττὸς ἀμφοτέρων μέσος, ὥστε ἐφ' ἑκατέραν
one-another the ivy of-both between so-that over each
διαθεὶς τοὺς ἀκρεμόνας ὡς ἄμπελος ἄντρου σχῆμα διὰ
having-spread the tendrils like a-vine of-a-cave form through
τῶν φύλλων ἐπαλλαττόντων ἐποίει· καὶ ὁ κόρυμβος
the leaves interlacing it-made and the berry-cluster
πολὺς καὶ μέγας ὅσος βότρυς κλημάτων ἐξεκρέματο.
abundant and great as-big-as a-grape from-branches hung

5.2 Ἦν οὖν πολὺ πλῆθος περὶ αὐτὸν τῶν χειμερινῶν ὀρνίθων
was then great multitude around it of-the wintry birds
ἀπορίᾳ τῆς ἔξω τροφῆς· πολὺς μὲν κόψιχος, πολλὴ δὲ
from-lack of-the outside food much indeed blackbird much and
κίχλη, καὶ φάτται καὶ ψᾶρες καὶ ὅσον ἄλλο κιττοφάγον
thrush and ring-doves and starlings and as-much-as other ivy-eating
πτερόν.
feather

5.3 Τούτων τῶν ὀρνίθων ἐπὶ προφάσει θήρας ἐξώρμησεν
these the birds on pretext of-hunting set-out
ὁ Δάφνις, ἐμπλήσας μὲν τὴν πήραν ὀψημάτων
— Daphnis having-filled indeed the wallet with-dainties
μεμελιτωμένων, κομίζων δὲ ἐς πίστιν ἰξὸν καὶ βρόχους.
honeyed bringing and for credibility birdlime and snares

5.4 Τὸ μὲν οὖν μεταξὺ σταδίων ἦν οὐ πλέον δέκα· οὔπω δὲ
the indeed then between of-stades was not more ten not-yet and
ἡ χιὼν λελυμένη πολὺν αὐτῷ κάματον παρέσχεν· ἔρωτι δὲ
the snow melted much to-him toil provided for-love but
ἄρα πάντα βάσιμα καὶ πῦρ καὶ ὕδωρ καὶ Σκυθικὴ χιών.
then all passable both fire and water and Scythian snow

6.1 Δρόμῳ οὖν πρὸς τὴν αὐλὴν ἔρχεται καὶ ἀποσεισάμενος
at-a-run then to the courtyard he-comes and having-shaken-off
τῶν σκελῶν τὴν χιόνα τούς τε βρόχους ἔστησε καὶ
from-the legs the snow the both snares he-set and
τὸν ἰξὸν ῥάβδοις μακραῖς ἐπήλειψε· καὶ ἐκαθέζετο τὸ
the birdlime on-sticks long smeared and sat the
ἐντεῦθεν ὄρνιθας καὶ τὴν Χλόην μεριμνῶν.
thereafter birds and — Chloe pondering

6.2 Ἀλλ᾽ ὄρνιθες μὲν καὶ ἦκον πολλοὶ καὶ ἐλήφθησαν
but birds indeed both came many and were-caught
ἱκανοί, ὥστε πράγματα μυρία ἔσχε συλλέγων αὐτοὺς καὶ
enough so-that troubles countless he-had collecting them and

ἀποκτιννὺς καὶ ἀποδύων τὰ πτερά· τῆς δὲ αὐλῆς προῆλθεν
killing and stripping the feathers of-the but courtyard came-forth
οὐδείς, οὐκ ἀνήρ, οὐ γύναιον, οὐ κατοικίδιος ὄρνις, ἀλλὰ
no-one not man not woman not domestic bird but
πάντες τῷ πυρὶ παραμένοντες ἔνδον κατεκέκλειντο, ὥστε
all by-the fire remaining inside were-shut-in so-that
πάνυ ἠπορεῖτο ὁ Δάφνις ὡς οὐκ ἐπ᾽ αἰσίοις ὄρνισιν
very was-at-a-loss — Daphnis as not under auspicious birds
ἐλθών· καὶ ἐτόλμα πρόφασιν σκηψάμενος ὥσασθαι διὰ
having-come and he-dared pretext having-made-up to-push through
θυρῶν καὶ ἐζήτει πρὸς αὑτὸν ὅ τι λεχθῆναι πιθανώτατον.
doors and sought with himself what ever to-be-said most-persuasive
"Πῦρ ἐναυσόμενος ἦλθον.' Μὴ γὰρ οὐκ ἦσαν ἀπὸ σταδίου 6.3
fire going-to-kindle I-came not for not were-they from a-stade
γείτονες; Ἄρτους αἰτησόμενος ἦκον. Ἀλλ᾽ ἡ πήρα μεστὴ
neighbors loaves going-to-ask I-came but the wallet full
τροφῆς. Οἴνου δέομαι. Καὶ μὴν χθὲς καὶ πρώην
of-food of-wine I-have-need and indeed yesterday and the-day-before
ἐτρύγησας. Λύκος με ἐδίωκε. Καὶ ποῦ τὰ ἴχνη τοῦ λύκου;
you-harvested a-wolf me pursued and where the tracks of-the wolf
Θηράσων ἀφικόμην τοὺς ὄρνιθας. Τί οὖν θηράσας οὐκ
going-to-hunt I-arrived the birds why then having-hunted not
ἄπει;' Χλόην θεάσασθαι βούλομαι."
do-you-depart Chloe to-see I-wish
Πατρὶ δὲ τίς καὶ μητρὶ παρθένου τοῦτο ὁμολογεῖ; Πταίων 6.4
to-father but who and to-mother of-a-maiden this confesses stumbling
δὴ πανταχοῦ "ἀλλ᾽ οὐδὲν" ἔφη "τούτων ἁπάντων
indeed everywhere but nothing he-said of-these all
ἀνύποπτον. Ἄμεινον ἄρα σιγᾶν· Χλόην δὲ ἦρος ὄψομαι,
unsuspicious better then to-be-silent Chloe and in-spring I-will-see
ἐπεὶ μὴ εἵμαρτο, ὡς ἔοικε, χειμῶνός με ταύτην ἰδεῖν."
since not it-was-fated as it-seems in-winter me her to-see

6.5 Τοιαῦτα δή τινα διανοηθεὶς καὶ σιωπῇ τὰ θηραθέντα
such-things indeed some having-considered and in-silence the-things hunted
συλλαβὼν ὥρμητο ἀπιέναι· καὶ ὥσπερ αὐτὸν οἰκτείραντος
having-gathered he-had-started to-go-away and as-if him having-pitied
τοῦ Ἔρωτος τάδε γίνεται.
— Love these-things happen

7.1 Περὶ τράπεζαν εἶχον οἱ ἀμφὶ τὸν Δρύαντα· κρέα
about table were the-ones around — Dryas meat
διῃρεῖτο, ἄρτοι παρετίθεντο, κρατὴρ ἐκίρνατο. Εἷς δὴ
was-divided loaves were-set-beside mixing-bowl was-mixed one indeed
κύων τῶν προβατευτικῶν ἀμέλειαν φυλάξας, κρέας
dog of-the sheep-dogs carelessness having-watched-for meat
ἁρπάσας ἔφυγε διὰ θυρῶν.
having-snatched fled through doors

7.2 Ἀλγήσας ὁ Δρύας (καὶ γὰρ ἦν ἐκείνου μοῖρα) ξύλον
having-been-pained — Dryas and for was his portion a-stick
ἀράμενος ἐδίωκε κατ᾽ ἴχνος ὥσπερ κύων· διώκων δὲ
having-taken-up pursued on track like a-dog pursuing and
κατὰ τὸν κιττὸν γενόμενος ὁρᾷ τὸν Δάφνιν ἀνατεθειμένον
by the ivy having-come sees — Daphnis having-put
ἐπὶ τοὺς ὤμους τὴν ἄγραν καὶ ἀποσοβεῖν ἐγνωκότα.
on the shoulders the catch and to-make-off having-decided

7.3 Κρέως μὲν οὖν καὶ κυνὸς αὐτίκα ἐπελάθετο, μέγα δὲ
the-meat indeed then and the-dog at-once forgot loudly and
βοήσας "χαῖρε, ὦ παῖ" περιεπλέκετο καὶ κατεφίλει καὶ
having-shouted hail O boy he-embraced and kissed and
ἦγεν ἔσω λαβόμενος. Μικροῦ μὲν οὖν ἰδόντες ἀλλήλους
led inside having-taken-hold within-a-little indeed then having-seen one-another
εἰς τὴν γῆν κατερρύησαν· μεῖναι δὲ καρτερήσαντες ὀρθοὶ
to the ground they-sank to-remain but having-endured upright

προσηγόρευσάν τε καὶ κατεφίλησαν· καὶ τοῦτο οἱονεὶ
they-greeted both and kissed and this as-it-were
ἔρεισμα αὐτοῖς τοῦ μὴ πεσεῖν ἐγένετο.
support for-them of-the not to-fall became
Τυχὼν οὖν ὁ Δάφνις παρ᾽ ἐλπίδας καὶ φιλήματος καὶ 8.1
having-obtained then — Daphnis beyond hopes both kiss and
Χλόης τοῦ τε πυρὸς ἐκαθέσθη πλησίον καὶ ἐπὶ τὴν τράπεζαν
Chloe the both fire sat near and onto the table
ἀπὸ τῶν ὤμων τὰς φάττας ἀπεφορτίσατο καὶ τοὺς κοψίχους,
from the shoulders the ring-doves unloaded and the blackbirds
καὶ διηγεῖτο πῶς ἀσχάλλων πρὸς τὴν οἰκουρίαν ὥρμησε
and recounted how chafing at the staying-home he-set-out
πρὸς ἄγραν, καὶ ὅπως τὰ μὲν αὐτῶν βρόχοις τὰ
for hunting and how the-ones indeed of-them with-snares the-others
δὲ ἰξῷ λάβοι τῶν μύρτων καὶ τοῦ κιττοῦ γλιχόμενα.
and with-birdlime he-took of-the myrtles and of-the ivy greedy
Οἱ δὲ ἐπῄνουν τὸ ἐνεργὸν καὶ ἐκέλευον ἐσθίειν ὧν 8.2
they and praised the energy and bade to-eat of-what
ὁ κύων κατέλιπεν, ἐκέλευον δὲ καὶ τῇ Χλόῃ πιεῖν
the dog left they-bade and also — Chloe to-drink
ἐγχέαι. Καὶ ἣ χαίρουσα τοῖς τε ἄλλοις ὤρεξε καὶ
to-pour and she rejoicing to-the both others offered and
Δάφνιδι μετὰ τοὺς ἄλλους· ἐσκήπτετο γὰρ ὀργίζεσθαι,
to-Daphnis after the others she-pretended for to-be-angry
διότι ἐλθὼν ἔμελλεν ἀποτρέχειν οὐκ ἰδών· ὅμως
because having-come he-was-about to-run-off not having-seen(-her) nevertheless
μέντοι πρὶν προσενεγκεῖν ἀπέπιεν, εἶθ᾽ οὕτως ἔδωκεν. Ὁ
however before to-offer she-sipped then so gave he
δέ, καίτοι διψῶν, βραδέως ἔπινε, παρέχων ἑαυτῷ διὰ
and and-yet thirsting slowly drank providing himself through
τῆς βραδυτῆτος μακροτέραν ἡδονήν.
the slowness longer pleasure

9.1 Ἡ μὲν δὴ τράπεζα ταχέως ἐγένετο κενὴ ἄρτων καὶ
the indeed then table quickly became empty of-loaves and
κρεῶν· καθήμενοι δὲ περὶ τῆς Μυρτάλης καὶ τοῦ Λάμωνος
of-meats sitting and about — Myrtale and — Lamon
ἐπυνθάνοντο καὶ εὐδαιμόνιζον αὐτοὺς τοιούτου γηροτρόφου
they-asked and called-happy them of-such a-nurse-of-old-age
εὐτυχήσαντας.
having-been-fortunate

9.2 Καὶ τοῖς ἐπαίνοις μὲν ἥδετο Χλόης ἀκροωμένης· ὅτε
and at-the praises indeed he-was-pleased Chloe listening when
δὲ κατεῖχον αὐτόν, ὡς θύσοντες Διονύσῳ τῆς ἐπιούσης
and they-detained him as going-to-sacrifice to-Dionysus on-the following
ἡμέρας, μικροῦ δεῖν ὑφ᾽ ἡδονῆς ἐκείνους ἀντὶ τοῦ
day little lacking from pleasure them instead-of —
Διονύσου προσεκύνησεν.
Dionysus he-worshiped

9.3 Αὐτίκα οὖν ἐκ τῆς πήρας προυκόμιζε μελιτώματα πολλὰ
at-once then from the wallet brought-out honey-cakes many
καὶ τοὺς θηραθέντας δὲ τῶν ὀρνίθων· καὶ τούτους ἐς
and the hunted and of-the birds and these for
τράπεζαν νυκτερινὴν ηὐτρέπιζον. Δεύτερος κρατὴρ ἵστατο
table nightly they-prepared second mixing-bowl was-set
καὶ δεύτερον πῦρ ἀνεκάετο.
and second fire was-kindled

9.4 Καὶ ταχὺ μάλα νυκτὸς γενομένης, δευτέρας τραπέζης
and quickly very night having-come of-a-second table
ἐνεφοροῦντο, μεθ᾽ ἣν τὰ μὲν μυθολογήσαντες τὰ δὲ
they-filled-themselves after which the-ones indeed having-told-tales the and
ᾄσαντες εἰς ὕπνον ἐχώρουν, Χλόη μετὰ τῆς μητρός,
having-sung into sleep they-went Chloe with the mother
Δρύας ἅμα Δάφνιδι.
Dryas together-with Daphnis

Χλόῃ μὲν οὖν οὐδὲν χρηστὸν ἦν ὅτι μὴ τῆς ἐπιούσης 9.5
for-Chloe indeed then nothing good was except — on-the following
ἡμέρας ὀφθησόμενος ὁ Δάφνις· Δάφνις δὲ κενὴν τέρψιν
day going-to-be-seen — Daphnis Daphnis and empty delight
ἐτέρπετο· τερπνὸν γὰρ ἐνόμιζε καὶ πατρὶ συγκοιμηθῆναι
delighted-in delightful for he-thought even with-a-father to-sleep
Χλόης· ὥστε καὶ περιέβαλλεν αὐτὸν καὶ κατεφίλει
of-Chloe so-that both he-embraced him and kissed
πολλάκις, ταῦτα πάντα ποιεῖν Χλόην ὀνειροπολούμενος.
often these-things all to-do Chloe dreaming
Ὡς δὲ ἐγένετο ἡμέρα, κρύος μὲν ἦν ἐξαίσιον καὶ αὖρα 10.1
when and came day frost indeed was extraordinary and breeze
βόρειος ἀπέκαε πάντα. Οἱ δὲ ἀναστάντες θύουσι τῷ
northern parched all they and having-stood-up sacrifice —
Διονύσῳ κριὸν ἐνιαύσιον καὶ πῦρ ἀνακαύσαντες μέγα
to-Dionysus a-ram yearling and fire having-kindled great
παρεσκευάζοντο τροφήν.
prepared food
Τῆς οὖν Νάπης ἀρτοποιούσης καὶ τοῦ Δρύαντος τὸν κριὸν 10.2
— then of-Nape baking-bread and — of-Dryas the ram
ἕψοντος, σχολῆς ὁ Δάφνις καὶ ἡ Χλόη λαβόμενοι προῆλθον
boiling leisure — Daphnis and — Chloe having-taken went-out
τῆς αὐλῆς ἵνα ὁ κιττός· καὶ πάλιν βρόχους στήσαντες καὶ
of-the courtyard where the ivy and again snares having-set and
ἰξὸν ἐπαλείψαντες ἐθήρων πλῆθος οὐκ ὀλίγον ὀρνίθων.
birdlime having-smeared they-hunted multitude not small of-birds
Ἦν δ' αὐτοῖς καὶ φιλημάτων ἀπόλαυσις συνεχὴς καὶ 10.3
was and for-them also of-kisses enjoyment continuous and
λόγων ὁμιλία τερπνή. "Διὰ σὲ ἦλθον, Χλόη." "Οἶδα,
of-words converse delightful because-of you I-came Chloe I-know
Δάφνι." "Διὰ σὲ ἀπολλύω τοὺς ἀθλίους κοψίχους." "Τί
Daphnis because-of you I-destroy the wretched blackbirds what

οὖν σοι γένωμαι;" "Μέμνησό μου." "Μνημονεύω, νὴ τὰς
then to-you am-I-to-be remember me I-remember by the
Νύμφας, ἃς ὤμοσά ποτε εἰς ἐκεῖνο τὸ ἄντρον, εἰς
Nymphs by-whom I-swore once in that the cave into
ὃ ἥξομεν εὐθύς, ἂν ἡ χιὼν τακῇ."
which we-will-come at-once when the snow melts

10.4 "Ἀλλὰ πολλή ἐστι, Χλόη, καὶ δέδοικα μὴ ἐγὼ πρὸ
but much it-is Chloe and I-fear lest I before
ταύτης τακῶ." "Θάρρει, Δάφνι, θερμός ἐστιν ὁ ἥλιος."
it melt take-heart Daphnis hot is the sun
"Εἰ γὰρ οὕτως γένοιτο. Χλόη, θερμός, ὡς τὸ καῖον πῦρ
if-only for so it-might-be Chloe hot as the burning fire
τὴν καρδίαν τὴν ἐμήν." "Παίζεις ἀπατῶν με." "Οὐ μὰ
the heart the my you-jest deceiving me no by
τὰς αἶγας, ἃς σύ με ἐκέλευες ὀμνύειν."
the goats by-which you me bade to-swear

11.1 Τοιαῦτα ἀντιφωνήσασα πρὸς τὸν Δάφνιν ἡ Χλόη καθάπερ
such-things having-answered to — Daphnis — Chloe like
ἠχώ, καλούντων αὐτοὺς τῶν περὶ τὴν Νάπην εἰσέδραμον,
an-echo calling them the-ones around — Nape they-ran-in
πολὺ περιττοτέραν τῆς χθιζῆς θήραν κομίζοντες· καὶ
much greater than-the yesterday's catch bringing and
ἀπαρξάμενοι τῷ Διονύσῳ κρατῆρος ἥσθιον κιττῷ
having-offered-first-fruits — to-Dionysus from-the-mixing-bowl they-ate with-ivy
τὰς κεφαλὰς ἐστεφανωμένοι.
the heads crowned

11.2 Καὶ ἐπεὶ καιρὸς ἦν, ἰακχάσαντες καὶ εὐάσαντες
and when time was having-cried-iacchus and having-cried-euoi
προύπεμπον τὸν Δάφνιν, πλήσαντες αὐτοῦ τὴν πήραν
they-escorted — Daphnis having-filled his the wallet
κρεῶν καὶ ἄρτων. Ἔδωκαν δὲ καὶ τὰς φάττας καὶ τὰς
with-meats and loaves they-gave and also the ring-doves and the

κίχλας Λάμωνι καὶ Μυρτάλῃ κομίζειν, ὡς αὐτοὶ θηράσοντες
thrushes to-Lamon and to-Myrtale to-bring as themselves going-to-hunt
ἄλλας, ἔστ᾽ ἂν ὁ χειμὼν μένῃ καὶ ὁ κιττὸς μὴ λείπῃ.
others as-long-as — the winter remains and the ivy not fails
Ὁ δὲ ἀπῄει, φιλήσας αὐτοὺς προτέρους Χλόης, ἵνα τὸ 11.3
he and went-away having-kissed them before Chloe so-that the
ἐκείνης φίλημα καθαρὸν μείνῃ. Καὶ ἄλλας δὲ πολλὰς
her kiss pure might-remain and other and many
ἦλθεν ὁδοὺς ἐπ᾽ ἄλλαις τέχναις, ὥστε μὴ παντάπασιν
he-came roads on other devices so-that not altogether
αὐτοῖς γενέσθαι τὸν χειμῶνα ἀνέραστον.
for-them become the winter loveless

II · SPRING RETURNS

Spring opens the pastures, and Daphnis and Chloe crown the statues, pour new milk, and play their pipes. The mating rams and he-goats make them long for more than kisses. Daphnis asks Chloe to lie with him naked, the one thing Philetas' lessons lacked, and do what the rams do. Chloe objects that the beasts do it standing. He lies with her, then clings to her from behind like the he-goats, but he knows nothing and weeps that he is more ignorant than the rams.

Ἤδη δὲ ἦρος ἀρχομένου καὶ τῆς μὲν χιόνος λυομένης, 12.1
already and spring beginning and the indeed snow melting
τῆς δὲ γῆς γυμνουμένης καὶ τῆς πόας ὑπανθούσης οἵ τε
the and earth being-laid-bare and the grass blooming-beneath the both
ἄλλοι νομεῖς ἦγον τὰς ἀγέλας εἰς νομὴν καὶ πρὸ τῶν
other herdsmen led the herds to pasture and before the
ἄλλων Χλόη καὶ Δάφνις, οἷα μείζονι δουλεύοντες ποιμένι.
others Chloe and Daphnis as to-a-greater serving shepherd

12.2 Εὐθὺς οὖν δρόμος ἦν ἐπὶ τὰς Νύμφας καὶ τὸ ἄντρον,
at-once then running was to the Nymphs and the cave
ἐντεῦθεν ἐπὶ τὸν Πᾶνα καὶ τὴν πίτυν, εἶτα ἐπὶ τὴν δρῦν,
from-there to — Pan and the pine then to the oak
ὑφ' ἣν καθίζοντες καὶ τὰς ἀγέλας ἔνεμον καὶ ἀλλήλους
under which sitting both the herds they-pastured and one-another
κατεφίλουν. Ἀνεζήτησαν δὲ καὶ ἄνθη στεφανῶσαι θέλοντες
kissed they-searched and also flowers to-crown wishing
τοὺς θεούς· τὰ δὲ ἄρτι ὁ ζέφυρος τρέφων καὶ ὁ ἥλιος
the gods them but just the west-wind nourishing and the sun
θερμαίνων ἐξῆγεν· ὅμως δὲ εὑρέθη καὶ ἴα καὶ νάρκισσος
warming brought-out nevertheless but was-found both violets and narcissus
καὶ ἀναγαλλὶς καὶ ὅσα ἦρος πρωτοφορήματα.
and pimpernel and as-many-as of-spring first-produce

12.3 Ἡ μὲν οὖν Χλόη καὶ ὁ Δάφνις ἀπὸ αἰγῶν καὶ ἀπὸ οἰῶν
— indeed then Chloe and — Daphnis from goats and from ewes
τινων γάλα νέον καὶ τοῦτο στεφανοῦντες τὰ ἀγάλματα
some milk new also this crowning the statues
κατέσπεισαν.
poured-down

12.4 Ἀπήρξαντο καὶ σύριγγος, καθάπερ τὰς ἀηδόνας ἐς
they-offered-first-fruits also of-the-pipe as-if the nightingales into
τὴν μουσικὴν ἐρεθίζοντες· αἱ δ' ὑπεφθέγγοντο ἐν ταῖς
the music provoking they and murmured in the
λόχμαις καὶ τὸν Ἴτυν κατ' ὀλίγον ἠκρίβουν, ὥσπερ
thickets and — Itys by little perfected as-if
ἀναμιμνησκόμεναι τῆς ᾠδῆς ἐκ μακρᾶς σιωπῆς.
recalling the song from long silence

13.1 Ἐβληχήσατό που καὶ ποίμνιον· ἐσκίρτησάν που
bleated somewhere also a-flock skipped somewhere
καὶ ἄρνες καὶ ταῖς μητράσιν ὑποκλάσαντες τὴν θηλὴν
also lambs and to-the mothers having-crouched-under the teat

ἔσπασαν· τὰς δὲ μήπω τετοκυίας οἱ κριοὶ καταδιώκοντες
they-sucked the and not-yet having-given-birth the rams chasing
καὶ κάτω στήσαντες ἔβαινον ἄλλος ἄλλην.
and down having-made-stand mounted another another
Ἐγίνοντο καὶ τράγων διώγματα καὶ ἐς τὰς αἶγας 13.2
there-happened also of-he-goats chasings and to the she-goats
ἐρωτικώτερα πηδήματα, καὶ ἐμάχοντο περὶ τῶν αἰγῶν·
more-amorous leapings and they-fought about the she-goats
καὶ ἕκαστος εἶχεν ἰδίας καὶ ἐφύλαττε μή τις αὐτὰς
and each had own and guarded lest anyone them
μοιχεύσῃ λαθών.
should-debauch unnoticed
Καὶ γέροντας ὁρῶντας ἐξώρμησεν ἂν εἰς Ἀφροδίτην τὰ 13.3
and old-men seeing would-have-roused — to Aphrodite the
τοιαῦτα θεάματα· οἱ δὲ καὶ νέοι καὶ σφριγῶντες καὶ
such sights they and both young and swelling and
πολὺν ἤδη χρόνον ἔρωτα ζητοῦντες ἐξεκάοντο πρὸς τὰ
much already time love seeking were-inflamed at the
ἀκούσματα καὶ ἐτήκοντο πρὸς τὰ θεάματα καὶ ἐζήτουν
hearings and melted at the sights and sought
καὶ αὐτοὶ περιττότερόν τι φιλήματος καὶ περιβολῆς,
also themselves more something than-kiss and embrace
μάλιστα δὲ ὁ Δάφνις.
most and — Daphnis
Οἷα γοῦν ἐνηβήσας τῇ κατὰ τὸν χειμῶνα οἰκουρίᾳ 13.4
as at-any-rate grown-lusty by-the during the winter staying-at-home
καὶ εὐσχολίᾳ πρός τε τὰ φιλήματα ὤργα καὶ πρὸς τὰς
and leisure for both the kisses he-was-eager and for the
περιβολὰς ἐσκιτάλιζε καὶ ἦν ἐς πᾶν ἔργον περιεργότερος
embraces he-was-wanton and was for every deed more-meddlesome
καὶ θρασύτερος.
and bolder

14.1 Ἤτει δὴ τὴν Χλόην χαρίσασθαί οἱ πᾶν ὅσον
he-asked indeed — Chloe to-grant him all as-much-as
βούλεται καὶ γυμνὴν γυμνῷ συγκατακλινῆναι μακρότερον
he-wishes and naked with-naked to-lie-down longer
ἢ πρόσθεν εἰώθεσαν· τοῦτο γὰρ λείπειν τοῖς
than before they-were-accustomed this for to-remain-lacking to-the
Φιλητᾶ παιδεύμασιν, ἵνα δὴ γένηται τὸ μόνον ἔρωτα
of-Philetas teachings so-that indeed might-happen the only love
παῦον φάρμακον.
stopping remedy

14.2 Τῆς δὲ πυνθανομένης τί πλέον ἐστὶ φιλήματος καὶ
she and asking what more is than-kiss and
περιβολῆς καὶ αὐτῆς κατακλίσεως καὶ τί ἔγνωκε
embrace and itself lying-down and what he-has-decided
δρᾶσαι γυμνὸς γυμνῇ συγκατακλινείς, "τοῦτο" εἶπεν "ὃ
to-do naked with-naked lying-with this he-said which
οἱ κριοὶ ποιοῦσι τὰς οἷς καὶ οἱ τράγοι τὰς αἶγας.
the rams do to-the ewes and the he-goats to-the she-goats

14.3 Ὁρᾷς ὡς μετὰ τοῦτο τὸ ἔργον οὔτε ἐκεῖναι φεύγουσιν
you-see how after this the deed neither they flee
ἔτι αὐτοὺς οὔτε ἐκεῖνοι κάμνουσι διώκοντες, ἀλλ'
any-longer them nor they tire pursuing but
ὥσπερ κοινῆς λοιπὸν ἀπολαύσαντες ἡδονῆς συννέμονται;
as-if common henceforth having-enjoyed pleasure they-graze-together
Γλυκύ τι, ὡς ἔοικεν, ἐστὶ τὸ ἔργον καὶ νικᾷ τὸ
sweet something as it-seems is the deed and conquers the
ἔρωτος πικρόν." "Εἶτα οὐχ ὁρᾷς, ὦ Δάφνι, τὰς αἶγας
of-love bitter then not do-you-see O Daphnis the she-goats
καὶ τοὺς τράγους καὶ τοὺς κριοὺς καὶ τὰς οἷς ὡς ὀρθοὶ
and the he-goats and the rams and the ewes how upright

μὲν ἐκεῖνοι δρῶσιν, ὀρθαὶ δὲ ἐκεῖναι πάσχουσιν, οἱ
indeed they do upright and they suffer the-ones
μὲν ἐπιπηδήσαντες, αἱ δὲ κατανωτισάμεναι;
indeed having-leapt-upon the-others and having-taken-on-the-back
Σὺ δέ με ἀξιοῖς συγκατακλινῆναι καὶ ταῦτα γυμνήν; 14.4
you but me ask to-lie-down-with and that naked
Καίτοιγε ἐκεῖναι πόσον ἐκδεδυμένης ἐμοῦ λασιώτεραι;"
and-yet they how-much than-undressed me shaggier
Πείθεται Δάφνις καὶ συγκατακλινεὶς αὐτῇ πολὺν χρόνον 14.5
is-persuaded Daphnis and having-lain-down-with her much time
ἔκειτο καὶ οὐδὲν ὧν ἕνεκα ὥργα ποιεῖν ἐπιστάμενος
lay and nothing of-what for-the-sake he-was-eager to-do knowing
ἀνίστησιν αὐτὴν καὶ κατόπιν περιεφύετο μιμούμενος τοὺς
makes-stand her and from-behind clung imitating the
τράγους. Πολὺ δὲ μᾶλλον ἀπορηθείς, καθίσας ἔκλαεν εἰ
he-goats much and more being-at-a-loss having-sat wept if
καὶ κριῶν ἀμαθέστερος εἰς τὰ ἔρωτος ἔργα.
even than-rams more-ignorant about the of-love deeds

III · LYCAENION

Lycaenion, the young town-bred wife of the farmer Chromis, wants Daphnis, and she has secretly watched the lovers fail. She tells him an eagle has dropped one of her geese in the wood, leads him there, and says the Nymphs bade her in a dream to teach him love. She teaches him, then warns that Chloe will cry out and bleed. Fearing the blood, Daphnis goes back to Chloe and keeps to kisses.

Ἦν δέ τις αὐτῷ γείτων, γεωργὸς γῆς ἰδίας, Χρῶμις 15.1
was and some to-him neighbor farmer of-land own Chromis
τοὔνομα, παρηβῶν ἤδη τὸ σῶμα. Τούτῳ γύναιον ἦν
by-name past-his-prime already in the body to-this-one a-wife was

ἐπακτὸν ἐξ ἄστεος, νέον καὶ ὡραῖον καὶ ἀγροικίας
brought-in from town young and ripe and than-rusticity
ἁβρότερον·
more-delicate

15.2 τούτῳ Λυκαίνιον ὄνομα ἦν. Αὕτη ἡ Λυκαίνιον ὁρῶσα
to-this-one Lycaenion name was this — Lycaenion seeing
τὸν Δάφνιν καθ' ἑκάστην ἡμέραν παρελαύνοντα τὰς αἶγας
— Daphnis by each day driving-past the goats
ἕωθεν εἰς νομήν, νύκτωρ ἐκ νομῆς, ἐπεθύμησεν ἐραστὴν
at-dawn to pasture by-night from pasture desired a-lover
κτήσασθαι δώροις δελεάσασα.
to-acquire with-gifts having-baited

15.3 Καὶ δή ποτε λοχήσασα μόνον καὶ σύριγγα δῶρον
and indeed once having-lain-in-wait alone also a-pipe as-gift
ἔδωκε καὶ μέλι ἐν κηρίῳ καὶ πήραν ἐλάφου· εἰπεῖν δέ
she-gave and honey in comb and wallet of-deerskin to-say but
τι ὤκνει, τὸν Χλόης ἔρωτα καταμαντευομένη·
anything she-hesitated the of-Chloe love divining

15.4 πάνυ γὰρ ἑώρα προσκείμενον αὐτὸν τῇ κόρῃ. Πρότερον
very for she-saw devoted him to-the girl before
μὲν οὖν ἐκ νευμάτων καὶ γέλωτος συνεβάλετο τοῦτο,
indeed then from nods and laughter she-had-guessed this
τότε δὲ ἐξ ἑωθινοῦ σκηψαμένη πρὸς Χρῶμιν ὡς
then and at dawn having-made-excuse to Chromis that
παρὰ τίκτουσαν ἄπεισι γείτονα κατόπιν τε αὐτοῖς
to a-woman-in-labor she-goes neighbor from-behind both them
παρηκολούθησε καὶ εἴς τινα λόχμην ἐγκρύψασα ἑαυτήν, ὡς
followed and into some thicket having-hidden herself so-that
μὴ βλέποιτο, πάντα ἤκουσεν ὅσα εἶπον, πάντα εἶδεν
not she-be-seen all heard as-much-as they-said all saw
ὅσα ἔπραξαν· οὐκ ἔλαθεν αὐτὴν οὐδὲ κλαύσας ὁ Δάφνις.
as-much-as they-did not escaped her not-even having-wept — Daphnis

Συναλγήσασα δὴ τοῖς ἀθλίοις καὶ καιρὸν ἥκειν 15.5
having-shared-grief indeed with-the wretched-ones and opportunity to-have-come
νομίσασα διττόν, τὸν μὲν εἰς τὴν ἐκείνων σωτηρίαν, τὸν
thinking double the-one indeed for the their rescue the-other
δὲ εἰς τὴν ἑαυτῆς ἐπιθυμίαν, ἐπιτεχνᾶταί τι τοιόνδε.
and for the her-own desire she-contrives something such
Τῆς ἐπιούσης ὡς πάλιν παρὰ τὴν γυναῖκα τὴν τίκτουσαν 16.1
on-the following(-day) as again to the woman the giving-birth
ἀπιοῦσα φανερῶς ἐπὶ τὴν δρῦν, ἔνθα ἐκαθέζοντο Δάφνις
going-away openly to the oak where sat Daphnis
καὶ Χλόη, παραγίνεται καὶ ἀκριβῶς μιμησαμένη τὴν
and Chloe she-arrives and exactly having-imitated the(-woman)
τεταραγμένην "σῶσόν με" εἶπε "Δάφνι, τὴν ἀθλίαν·
troubled save me she-said Daphnis the wretched
ἐκ γάρ μοι τῶν χηνῶν τῶν εἴκοσιν ἕνα τὸν κάλλιστον 16.2
from for my the geese the twenty one the most-beautiful
ἀετὸς ἥρπασε καὶ οἷα μέγα φορτίον ἀράμενος οὐκ ἐδυνήθη
an-eagle seized and as great burden having-taken-up not was-able
μετέωρος ἐπὶ τὴν συνήθη τὴν ὑψηλὴν κομίσαι ἐκείνην
aloft to the accustomed the lofty to-carry that
πέτραν, ἀλλ' εἰς τήνδε τὴν ὕλην τὴν ταπεινὴν ἔχων κατέπεσε.
rock but into this the wood the low holding fell-down
Σὺ τοίνυν, πρὸς τῶν Νυμφῶν καὶ τοῦ Πανὸς ἐκείνου, 16.3
you then by the Nymphs and — Pan that
συνεισελθὼν εἰς τὴν ὕλην (μόνη γὰρ δέδοικα) σῶσόν μοι
having-entered-with into the wood alone for I-fear save for-me
τὸν χῆνα, μηδὲ περιίδῃς ἀτελῆ μοι τὸν ἀριθμὸν γενόμενον.
the goose nor overlook incomplete for-me the number having-become
Τάχα δὲ καὶ αὐτὸν τὸν ἀετὸν ἀποκτενεῖς καὶ οὐκέτι 16.4
perhaps and also very the eagle you-will-kill and no-longer
πολλοὺς ὑμῶν ἄρνας καὶ ἐρίφους ἁρπάσει. Τὴν δὲ ἀγέλην
many of-your lambs and kids will-seize the and herd

τέως φρουρήσει Χλόη· πάντως αὐτὴν ἴσασιν αἱ αἶγες
meanwhile will-guard Chloe altogether her know the goats
ἀεί σοι συννέμουσαν."
always with-you pasturing

17.1 Οὐδὲν τῶν μελλόντων ὑποπτεύσας ὁ Δάφνις εὐθὺς
nothing of-the-things coming having-suspected — Daphnis at-once
ἀνίσταται καὶ ἀράμενος τὴν καλαύροπα κατόπιν ἠκολούθει
stands-up and having-taken-up the crook from-behind followed
τῇ Λυκαινίῳ· ἡ δὲ ἡγεῖτο ὡς μακροτάτω τῆς Χλόης.
— Lycaenion she and led as farthest — from-Chloe
Καὶ ἐπειδὴ κατὰ τὸ πυκνότατον ἐγένοντο, πηγῆς πλησίον
and when in the thickest they-were a-spring near
καθίσαι κελεύσασα αὐτὸν "ἐρᾷς" εἶπε "Δάφνι, Χλόης·
to-sit having-bidden him you-love she-said Daphnis Chloe
τοῦτο ἔμαθον ἐγὼ νύκτωρ παρὰ τῶν Νυμφῶν.
this learned I by-night from the Nymphs

17.2 δι' ὀνείρατος ἐμοὶ τὰ χθιζά σου διηγήσαντο δάκρυα καὶ
through a-dream to-me the yesterday's your they-recounted tears and
ἐκέλευσάν σε σῶσαι διδαξαμένην τὰ ἔρωτος ἔργα. Τὰ δ'
bade you to-save having-taught the of-love deeds they and
ἐστὶν οὐ φιλήματα καὶ περιβολαὶ καὶ οἷα δρῶσι κριοὶ καὶ
are not kisses and embraces and such-as do rams and
τράγοι· ἄλλα ταῦτα πηδήματα καὶ τῶν ἐκεῖ γλυκύτερα·
he-goats other these leapings and than-the-ones there sweeter
πρόσεστι γὰρ αὐτοῖς χρόνος μακροτέρας ἡδονῆς.
belongs for to-them time of-longer pleasure

17.3 Εἰ δή σοι φίλον ἀπηλλάχθαι κακῶν καὶ ἐν πείρᾳ γενέσθαι
if indeed to-you dear to-be-rid of-evils and in trial to-become
τῶν ζητουμένων τερπνῶν, ἴθι, παραδίδου μοι τερπνὸν σαυτὸν
of-the sought delights come hand-over to-me delightful yourself
μαθητήν· ἐγὼ δὲ χαριζομένη ταῖς Νύμφαις ἐκεῖνα διδάξω."
as-pupil I and gratifying the Nymphs those-things will-teach

Οὐκ ἐκαρτέρησεν ὁ Δάφνις ὑφ᾽ ἡδονῆς, ἀλλ᾽ ἅτε ἄγροικος 18.1
not held-out — Daphnis from pleasure but as rustic
καὶ αἰπόλος καὶ ἐρῶν καὶ νέος, πρὸ τῶν ποδῶν
and goatherd and loving and young before the feet
καταπεσὼν τὴν Λυκαίνιον ἱκέτευεν ὅτι τάχιστα διδάξαι
having-fallen-down — Lycaenion begged as quickly-as-possible to-teach
τὴν τέχνην, δι᾽ ἧς ὃ βούλεται δράσει Χλόην·
the art through which what he-wishes he-will-do Chloe
καὶ ὥσπερ τι μέγα καὶ θεόπεμπτον ἀληθῶς μέλλων 18.2
and as-if something great and god-sent truly being-about
διδάσκεσθαι καὶ ἔριφον αὐτῇ σηκίτην δώσειν
to-be-taught both a-kid to-her stall-fed to-be-going-to-give
ἐπηγγείλατο καὶ τυροὺς ἁπαλοὺς πρωτορρύτου γάλακτος
promised and cheeses soft of-first-flowing milk
καὶ τὴν αἶγα αὐτήν.
and the goat itself
Εὑροῦσα δὴ ἡ Λυκαίνιον αἰπολικὴν ἀφθονίαν, οἵαν οὐ 18.3
having-found indeed — Lycaenion goatherd's abundance such-as not
προσεδόκησεν, ἤρχετο παιδεύειν τὸν Δάφνιν τοῦτον τὸν
she-expected began to-instruct — Daphnis this the
τρόπον. Ἐκέλευσεν αὐτὸν καθίσαι πλησίον αὐτῆς, ὡς εἶχε,
way she-bade him to-sit near her as he-was
καὶ φιλήματα φιλεῖν οἷα εἰώθει καὶ ὅσα, καὶ
and kisses to-kiss as he-was-accustomed and as-many-as and
φιλοῦντα ἅμα περιβάλλειν καὶ κατακλίνεσθαι χαμαί.
kissing at-the-same-time to-embrace and to-lie-down on-the-ground
Ὡς δὲ ἐκαθέσθη καὶ ἐφίλησε καὶ κατεκλίνη, μαθοῦσα 18.4
when and he-sat and kissed and lay-down having-learned
ἐνεργεῖν δυνάμενον καὶ σφριγῶντα, ἀπὸ μὲν τῆς ἐπὶ
to-act able and swelling from indeed the on
πλευρὰν κατακλίσεως ἀνίστησιν, αὐτὴν δὲ ὑποστορέσασα
side lying makes-stand herself and having-spread-beneath

ἐντέχνως ἐς τὴν τέως ζητουμένην ὁδὸν ἦγε. Τὸ δὲ
skillfully to the till-then sought road led the and
ἐντεῦθεν οὐδὲν περιειργάζετο ξένον· αὐτὴ γὰρ ἡ φύσις
thereafter nothing she-meddled strange itself for the nature
λοιπὸν ἐπαίδευσε τὸ πρακτέον.
henceforth taught the thing-to-be-done

19.1 Τελεσθείσης δὲ τῆς ἐρωτικῆς παιδαγωγίας ὁ μὲν Δάφνις
having-been-completed and the amorous education — indeed Daphnis
ἔτι ποιμενικὴν γνώμην ἔχων ὥρμητο τρέχειν ἐπὶ τὴν Χλόην
still shepherd's judgment having started to-run to — Chloe
καὶ ὅσα ἐπεπαίδευτο δρᾶν αὐτίκα, καθάπερ δεδοικὼς μὴ
and as-much-as he-had-been-taught to-do at-once as-if fearing lest
βραδύνας ἐπιλάθοιτο· ἡ δὲ Λυκαίνιον κατασχοῦσα αὐτὸν
having-delayed he-forget — but Lycaenion having-held-back him
ἔλεξεν ὧδε "ἔτι καὶ ταῦτά σε δεῖ μαθεῖν, Δάφνι.
spoke thus still also these-things you it-is-necessary to-learn Daphnis

19.2 Ἐγὼ γυνὴ τυγχάνουσα πέπονθα νῦν οὐδέν· πάλαι γάρ
I woman being have-suffered now nothing long-ago for
με ταῦτα ἀνὴρ ἄλλος ἐπαίδευσε, μισθὸν τὴν παρθενίαν
me these-things man another taught as-pay the maidenhood
λαβών· Χλόη δὲ συμπαλαίουσά σοι ταύτην τὴν πάλην
having-taken Chloe but wrestling-with you this the wrestling
καὶ οἰμώξεται καὶ κλαύσεται καὶ αἵματι ῥεύσεται πολλῷ
both will-cry-out and will-weep and with-blood will-flow much
καθάπερ πεφονευμένη.
as-if slain

19.3 Ἀλλὰ σὺ τὸ αἷμα μὴ φοβηθῇς, ἀλλ' ἡνίκα ἂν πείσῃς
but you the blood not fear but when — you-persuade
αὐτήν σοι παρασχεῖν, ἄγαγε αὐτὴν εἰς τοῦτο τὸ χωρίον,
her to-you to-grant lead her into this the place
ἵνα, κἂν βοήσῃ, μηδεὶς ἀκούσῃ, κἂν δακρύσῃ, μηδεὶς
so-that even-if she-shouts no-one may-hear even-if she-weeps no-one

ἴδῃ, κἂν αἱμαχθῇ, λούσηται τῇ πηγῇ· καὶ μέμνησο
may-see even-if she-be-bloodied she-may-wash in-the spring and remember
ὅτι σε ἄνδρα ἐγὼ πρὸ Χλόης πεποίηκα.”
that you man I before Chloe have-made
Ἡ μὲν οὖν Λυκαίνιον τοσαῦτα ὑποθεμένη κατ’ ἄλλο 20.1
— indeed then Lycaenion so-much having-suggested to other
μέρος τῆς ὕλης ἀπῆλθεν, ὡς ἔτι ζητοῦσα τὸν χῆνα· ὁ
part of-the wood went-away as still seeking the goose —
δὲ Δάφνις εἰς λογισμὸν ἄγων τὰ εἰρημένα, τῆς
and Daphnis into reckoning bringing the-things said from-the
μὲν πρότερον ὁρμῆς ἀπήλλακτο, διοχλεῖν δὲ τῇ Χλόῃ
indeed former impulse had-been-released to-trouble but — Chloe
περιττότερον ὤκνει φιλήματος καὶ περιβολῆς, μήτε
more he-hesitated than-kiss and embrace neither
βοῆσαι θέλων αὐτὴν ὡς πρὸς πολέμιον, μήτε δακρῦσαι
to-shout wishing her as at an-enemy nor to-weep
ὡς ἀλγοῦσαν, μήτε αἱμαχθῆναι καθάπερ πεφονευμένην·
as being-pained nor to-be-bloodied as-if slain
ἀρτιμαθὴς γὰρ ὢν ἐδεδοίκει τὸ αἷμα καὶ ἐνόμιζεν ὅτι 20.2
newly-taught for being he-had-feared the blood and thought that
ἄρα ἐκ μόνου τραύματος αἷμα γίνεται. Γνοὺς δὲ
then from only a-wound blood comes having-decided and
τὰ συνήθη τέρπεσθαι μετ’ αὐτῆς ἐξέβη τῆς ὕλης· καὶ
the accustomed to-delight with her he-came-out of-the wood and
ἐλθὼν ἵνα ἐκάθητο στεφανίσκον ἴων πλέκουσα, τόν
having-come where she-sat a-little-garland of-violets weaving the
τε χῆνα τῶν τοῦ ἀετοῦ ὀνύχων ἐψεύσατο ἐξαρπάσαι
both goose from-the of-the eagle claws he-lied to-have-snatched
καὶ περιφὺς ἐφίλησεν, οἷον ἐν τῇ τέρψει Λυκαίνιον·
and having-clung kissed as in the delight Lycaenion

20.3 τοῦτο γὰρ ἐξῆν ὡς ἀκίνδυνον· ἡ δὲ τὸν στέφανον
this for was-permitted as safe she and the garland
ἐφήρμοσεν αὐτοῦ τῇ κεφαλῇ καὶ τὴν κόμην ἐφίλησεν
fitted to-his the head and the hair kissed
ὡς τῶν ἴων κρείττονα. Κἀκ τῆς πήρας προκομίσασα
as than-the violets better and-from the wallet having-brought-forth
παλάθης μοῖραν καὶ ἄρτους τινὰς ἔδωκε φαγεῖν· καὶ
of-fruit-cake a-portion and loaves some gave to-eat and
ἐσθίοντος ἀπὸ τοῦ στόματος ἥρπαζε καὶ οὕτως ἤσθιεν
eating from the mouth snatched and thus ate
ὥσπερ νεοττὸς ὄρνιθος.
like a-nestling of-a-bird

IV · ECHO

As the lovers eat, a fishing boat rows past, and the hollow glen below the plain echoes the rowers' songs. Chloe, hearing an echo for the first time, asks whether another ship sails behind the headland. Daphnis laughs, kisses her, and for ten kisses tells her of Echo, who fled all males until Pan drove the shepherds mad to tear her apart, and Earth kept her voice. Chloe gives him far more than ten kisses.

21.1 Ἐσθιόντων δὲ αὐτῶν καὶ περιττότερα φιλούντων ὧν
eating and them and more kissing than-what
ἤσθιον, ναῦς ἁλιέων ὤφθη παραπλέουσα. Ἄνεμος μὲν
they-ate a-ship of-fishermen was-seen sailing-by wind indeed
οὐκ ἦν, γαλήνη δὲ ἦν καὶ ἐρέττειν ἐδόκει. Καὶ ἤρεττον
not was calm but was and to-row it-seemed-best and they-rowed
ἐρρωμένως· ἠπείγοντο γὰρ νεαλεῖς ἰχθῦς εἰς τὴν πόλιν
vigorously they-hastened for fresh fish to the city
διασώσασθαι τῶν τινι πλουσίων.
to-bring-safe for-the some of-rich-men

Οἷον οὖν εἰώθασι ναῦται δρᾶν ἐς καμάτων ἀμέλειαν, 21.2
as then are-accustomed sailors to-do for of-toils forgetfulness
τοῦτο κἀκεῖνοι δρῶντες τὰς κώπας ἀνέφερον. Εἷς μὲν
this they-too doing the oars raised one indeed
αὐτοῖς κελευστὴς ναυτικὰς ᾖδεν ᾠδάς, οἱ δὲ λοιποὶ καθάπερ
for-them coxswain sea songs sang the and rest like
χορὸς ὁμοφώνως κατὰ καιρὸν τῇ ἐκείνου φωνῇ ἐβόων.
a-chorus in-unison in time with-the his voice shouted
Ἡνίκ' οὖν ἐν ἀναπεπταμένῃ τῇ θαλάττῃ ταῦτα ἔπραττον, 21.3
when then in open the sea these-things they-did
ἠφανίζετο ἡ βοὴ χεομένης τῆς φωνῆς εἰς πολὺν ἀέρα·
vanished the shout pouring-out the voice into much air
ἐπεὶ δὲ ἄκρᾳ τινὶ ὑποδραμόντες εἰς κόλπον μηνοειδῆ
when but a-headland some having-run-under into a-bay crescent-shaped
καὶ κοῖλον εἰσήλασαν, μείζων μὲν ἠκούετο βοή, σαφῆ
and hollow they-drove greater indeed was-heard shout clear
δὲ ἐξέπιπτεν εἰς τὴν γῆν τὰ τῶν κελευστῶν ᾄσματα.
and fell-out onto the land the of-the coxswains songs
Κοῖλος γὰρ τῷ πεδίῳ αὐλὼν ὑποκείμενος καὶ τὸν 21.4
hollow for to-the plain a-glen lying-below and the
ἦχον εἰς αὑτὸν ὡς ὄργανον δεχόμενος πάντων τῶν
sound into itself like an-instrument receiving of-all the
φθεγγομένων μιμητὴν φωνὴν ἀπεδίδου, ἰδίᾳ μὲν τῶν
speaking imitating voice gave-back separately indeed of-the
κωπῶν τὸν ἦχον, ἰδίᾳ δὲ τὴν φωνὴν τῶν ναυτῶν· καὶ
oars the sound separately and the voice of-the sailors and
ἐγίνετο ἄκουσμα τερπνόν.
became a-hearing delightful
Φθανούσης γὰρ τῆς ἀπὸ τῆς θαλάττης φωνῆς, ἡ ἐκ τῆς 21.5
anticipating for the from the sea voice the from the
γῆς φωνὴ τοσοῦτον ἐπαύετο βράδιον, ὅσον ἤρξατο.
land voice so-much ceased later as-much-as it-began

22.1 Ὁ μὲν οὖν Δάφνις εἰδὼς τὸ πραττόμενον μόνῃ τῇ
— *indeed then Daphnis knowing the thing-happening only to-the*
θαλάττῃ προσεῖχε καὶ ἐτέρπετο τῇ νηὶ παρατρεχούσῃ
sea attended and delighted in-the ship running-past
τὸ πεδίον θᾶττον πτεροῦ καὶ ἐπειρᾶτό τινα διασώσασθαι
the plain swifter than-a-wing and tried some to-preserve
τῶν ᾀσμάτων, ὡς γένοιτο τῆς σύριγγος μέλη·
of-the songs so-that they-might-become of-the pipe tunes
22.2 ἡ δὲ Χλόη τότε πρῶτον πειρωμένη τῆς καλουμένης
— *but Chloe then first experiencing of-the so-called*
ἠχοῦς ποτὲ μὲν εἰς τὴν θάλατταν ἀπέβλεπε, τῶν
echo at-one-time indeed to the sea looked of-the
ναυτῶν κελευόντων, ποτὲ δὲ εἰς τὴν ὕλην ἐπεστρέφετο,
sailors calling-the-stroke at-another and to the wood turned
ζητοῦσα τοὺς ἀντιφωνοῦντας.
seeking the-ones answering
22.3 Καὶ ἐπεὶ παραπλευσάντων ἦν κἀν τῷ αὐλῶνι σιγή,
and when having-sailed-by was and-in the glen silence
ἐπυνθάνετο τοῦ Δάφνιδος, εἰ καὶ ὀπίσω τῆς ἄκρας ἐστὶ
she-asked — Daphnis if also behind the headland is
θάλαττα καὶ ναῦς ἄλλη παρέπλει καὶ ἄλλοι ναῦται τὰ
sea and ship another sailed-by and other sailors the
αὐτὰ ᾖδον καὶ ἅμα πάντες σιωπῶσι.
same-things sang and at-the-same-time all are-silent
22.4 Γελάσας οὖν ὁ Δάφνις ἡδὺ καὶ φιλήσας ἥδιον φίλημα
having-laughed then — Daphnis sweetly and having-kissed sweeter kiss
καὶ τὸν τῶν ἴων στέφανον ἐκείνῃ περιθεὶς ἤρξατο αὐτῇ
and the of-the violets garland on-her having-put began to-her
μυθολογεῖν τὸν μῦθον τῆς Ἠχοῦς, αἰτήσας, εἰ διδάξειε,
to-tell the tale — of-Echo having-asked if he-should-teach
μισθὸν παρ᾽ αὐτῆς ἄλλα φιλήματα δέκα.
as-pay from her other kisses ten

“Νυμφῶν, ὦ κόρη, πολὺ γένος, Μελίαι καὶ Δρυάδες καὶ 23.1
of-Nymphs O girl great race Meliae and Dryads and
Ἕλειοι· πᾶσαι καλαί, πᾶσαι μουσικαί. Καὶ μιᾶς τούτων
Heleiae all beautiful all musical and of-one of-these
θυγάτηρ Ἠχὼ γίνεται, θνητὴ μὲν ὡς ἐκ πατρὸς θνητοῦ,
daughter Echo is-born mortal indeed as from father mortal
καλὴ δὲ ὡς ἐκ μητρὸς καλῆς.
beautiful and as from mother beautiful
Τρέφεται μὲν ὑπὸ Νυμφῶν, παιδεύεται δὲ ὑπὸ Μουσῶν 23.2
she-is-reared indeed by Nymphs is-taught and by Muses
συρίττειν, αὐλεῖν, τὰ πρὸς λύραν, τὰ πρὸς
to-pipe to-play-flute the-things for lyre the-things for
κιθάραν, πᾶσαν ᾠδήν, ὥστε καὶ παρθενίας εἰς ἄνθος
cithara every song so-that also of-maidenhood into flower
ἀκμάσασα ταῖς Νύμφαις συνεχόρευε, ταῖς Μούσαις
having-come-to-prime with-the Nymphs she-danced with-the Muses
συνᾖδεν· ἄρρενας δὲ ἔφευγε πάντας, καὶ ἀνθρώπους καὶ
she-sang males but she-fled all both men and
θεούς, φιλοῦσα τὴν παρθενίαν.
gods loving the maidenhood
Ὁ Πὰν ὀργίζεται τῇ κόρῃ, τῆς μουσικῆς φθονῶν, τοῦ 23.3
— Pan is-angry at-the girl the music grudging the
κάλλους μὴ τυχών, καὶ μανίαν ἐμβάλλει τοῖς ποιμέσι
beauty not having-obtained and madness throws-into the shepherds
καὶ τοῖς αἰπόλοις. Οἱ δὲ ὥσπερ κύνες ἢ λύκοι διασπῶσιν
and the goatherds they and like dogs or wolves tear-apart
αὐτὴν καὶ ῥίπτουσιν εἰς πᾶσαν γῆν ἔτι ᾄδοντα τὰ μέλη.
her and fling into all earth still singing the limbs
Καὶ τὰ μέλη Γῆ χαριζομένη Νύμφαις ἔκρυψε πάντα. Καὶ 23.4
and the limbs Earth gratifying the-Nymphs hid all and
ἐτήρησε τὴν μουσικὴν καὶ γνώμῃ Μουσῶν ἀφίησι φωνὴν καὶ
kept the music and by-will of-Muses sends-forth voice and

μιμεῖται πάντα, καθάπερ τότε ἡ κόρη, θεούς, ἀνθρώπους,
imitates all as then the girl gods men
ὄργανα, θηρία· μιμεῖται καὶ αὐτὸν συρίττοντα τὸν Πᾶνα.
instruments beasts she-imitates even himself piping — Pan
23.5 Ὁ δὲ ἀκούσας ἀναπηδᾷ καὶ διώκει κατὰ τῶν ὀρῶν, οὐκ
he and having-heard leaps-up and pursues down the mountains not
ἐρῶν τυχεῖν ἀλλ' ἢ τοῦ μαθεῖν, τίς ἐστὶν ὁ λανθάνων
loving to-obtain but than the to-learn who is the unseen
μαθητής." Ταῦτα μυθολογήσαντα τὸν Δάφνιν οὐ δέκα
pupil these-things having-told-tales — Daphnis not ten
μόνον φιλήματα ἀλλὰ πάνυ πολλὰ κατεφίλησεν ἡ Χλόη·
only kisses but very many kissed — Chloe
μικροῦ δὲ καὶ τὰ αὐτὰ εἶπεν ἡ Ἠχώ, καθάπερ
nearly and also the same-things said — Echo as-if
μαρτυροῦσα ὅτι μηδὲν ἐψεύσατο.
bearing-witness that nothing he-lied

V · SUITORS AND THE APPLE

In summer many suitors ask Dryas for Chloe, and Daphnis despairs when Lamon refuses the match. In a dream the Nymphs tell him of a purse of three thousand drachmas from the wrecked Methymnaean ship. He finds it by a dead dolphin and offers it to Dryas, who agrees. Lamon, a slave, says his master must consent in autumn, and Dryas wonders whether Daphnis too was exposed. Daphnis climbs for a tree's last apple and gives it to Chloe as beauty's prize.

24.1 Θερμοτέρου δὲ καθ' ἑκάστην ἡμέραν γινομένου τοῦ ἡλίου,
hotter and by each day becoming the sun
οἷα τοῦ μὲν ἦρος παυομένου τοῦ δὲ θέρους ἀρχομένου,
as the indeed spring ending the and summer beginning
πάλιν αὐτοῖς ἐγίνοντο καιναὶ τέρψεις καὶ θέρειοι.
again for-them came new delights and summery

Ὁ μὲν γὰρ ἐνήχετο ἐν τοῖς ποταμοῖς, ἡ δὲ ἐν ταῖς 24.2
he indeed for swam in the rivers she and in the
πηγαῖς ἐλούετο· ὁ μὲν ἐσύριττεν ἁμιλλώμενος πρὸς τὰς
springs bathed he indeed piped vying against the
πίτυς, ἡ δὲ ᾖδε ταῖς ἀηδόσιν ἐρίζουσα· ἐθήρων ἀκρίδας
pines she and sang with-the nightingales contending they-hunted locusts
λάλους, ἐλάμβανον τέττιγας ἠχοῦντας, ἄνθη συνέλεγον,
chattering they-caught cicadas sounding flowers they-gathered
δένδρα ἔσειον, ὀπώραν ἤσθιον· ἤδη ποτὲ καὶ γυμνοὶ
trees they-shook fruit they-ate already once also naked
συγκατεκλίνησαν καὶ ἓν δέρμα αἰγὸς ἐπεσύραντο.
they-lay-together and one skin of-goat drew-over
Καὶ ἐγένετο ἂν γυνὴ Χλόη ῥᾳδίως, εἰ μὴ Δάφνιν 24.3
and would-have-become — a-woman Chloe easily if not Daphnis
ἐτάραξε τὸ αἷμα. Ἀμέλει καὶ δεδοικὼς μὴ νικηθῇ τὸν
had-troubled the blood surely and fearing lest he-be-overcome-in the
λογισμόν ποτε, πολλὰ γυμνοῦσθαι τὴν Χλόην οὐκ ἐπέτρεπεν,
reasoning ever much to-be-stripped — Chloe not he-allowed
ὥστε ἐθαύμαζε μὲν ἡ Χλόη, τὴν δὲ αἰτίαν ᾐδεῖτο πυθέσθαι.
so-that wondered indeed — Chloe the but cause was-ashamed to-ask
Ἐν τῷ θέρει τῷδε καὶ μνηστήρων πλῆθος ἦν περὶ 25.1
in the summer this also of-suitors multitude was around
τὴν Χλόην καὶ πολλοὶ πολλαχόθεν ἐφοίτων παρὰ τὸν
— Chloe and many from-many-places came to —
Δρύαντα πρὸς γάμον αἰτοῦντες αὐτήν. Καὶ οἱ μέν τι
Dryas for marriage asking her and some indeed some
δῶρον ἔφερον, οἱ δὲ ἐπηγγέλλοντο μεγάλα.
gift brought others and promised great-things
Ἡ μὲν οὖν Νάπη ταῖς ἐλπίσιν ἐπαιρομένη συνεβούλευεν 25.2
— indeed then Nape by-the hopes being-elated advised
ἐκδιδόναι τὴν Χλόην μηδὲ κατέχειν οἴκοι πρὸς πλέον
to-give-in-marriage — Chloe nor to-keep at-home for longer

τηλικαύτην κόρην, ἢ τάχα μικρὸν ὕστερον νέμουσα
so-old a-girl who perhaps a-little later pasturing
τὴν παρθενίαν ἀπολέσει καὶ ἄνδρα ποιήσεταί τινα τῶν
the maidenhood will-lose and husband will-make some of-the
ποιμένων ἐπὶ μήλοις ἢ ῥόδοις, ἀλλ' ἐκείνην τε ποιῆσαι
shepherds for apples or roses but her both to-make
δέσποιναν οἰκίας καὶ αὐτοὺς πολλὰ λαβόντας ἰδίῳ
mistress of-a-house and themselves much having-received for-their-own
φυλάττειν αὐτὰ καὶ γνησίῳ παιδίῳ (ἐγεγόνει γὰρ αὐτοῖς
to-keep them and for-legitimate child had-been-born for to-them
ἄρρεν παιδίον οὐ πρὸ πολλοῦ τινος)·
a-male child not before long some(-time)

25.3 ὁ δὲ Δρύας ποτὲ μὲν ἐθέλγετο τοῖς λεγομένοις
— and Dryas at-one-time indeed was-charmed by-the-things said
(μείζονα γὰρ ἢ κατὰ ποιμαίνουσαν κόρην δῶρα ὠνομάζετο
greater for than for a-shepherding girl gifts were-named
παρ' ἑκάστου), ποτὲ δὲ ἐννοήσας ὡς κρείττων ἐστὶν
from each at-another and having-considered that better is
ἡ παρθένος μνηστήρων γεωργῶν καὶ ὡς, εἴ ποτε τοὺς
the maiden than-suitors farmers and that if ever the
ἀληθινοὺς γονέας εὕροι, μεγάλως αὐτοὺς εὐδαίμονας
true parents she-should-find greatly them prosperous
θήσει, ἀνεβάλλετο τὴν ἀπόκρισιν καὶ εἵλκε χρόνον ἐκ
she-will-make he-put-off the answer and dragged time from
χρόνου καὶ ἐν τῷ τέως ἀπεκέρδαινεν οὐκ ὀλίγα δῶρα.
time and in the meantime gained not few gifts

25.4 Ἡ μὲν δὴ μαθοῦσα λυπηρῶς πάνυ διῆγε καὶ τὸν
she indeed then having-learned grievously very passed-time and —
Δάφνιν ἐλάνθανεν ἐπὶ πολύ, λυπεῖν οὐ θέλουσα· ὡς δὲ
Daphnis she-kept-it-from for long to-grieve not wishing when but
ἐλιπάρει καὶ ἐνέκειτο πυνθανόμενος καὶ ἐλυπεῖτο μᾶλλον
he-persisted and pressed asking and grieved more

μὴ μανθάνων ἢ ἔμελλε μαθών, πάντα αὐτῷ διηγεῖται,
not learning than he-would having-learned all to-him she-recounts
τοὺς μνηστευομένους ὡς πολλοὶ καὶ πλούσιοι, τοὺς λόγους
the suitors how many and rich the words
οὓς ἡ Νάπη σπεύδουσα τὸν γάμον ἔλεγεν, καὶ ὡς οὐκ
which — Nape hastening the marriage said and how not
ἀπείπατο Δρύας, ἀλλ' ὡς εἰς τὸν τρυγητὸν ἀναβέβληται.
refused Dryas but as to the vintage has-postponed
Ἔκφρων ἐπὶ τούτοις ὁ Δάφνις γίνεται καὶ ἐδάκρυσε 26.1
out-of-his-mind at these — Daphnis becomes and wept
καθήμενος, ἀποθανεῖσθαι μηκέτι συννεμούσης Χλόης λέγων·
sitting to-be-going-to-die no-longer pasturing-with Chloe saying
καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τὰ πρόβατα μετὰ τοιοῦτον
and not himself alone but also the sheep after such
ποιμένα. Εἶτα ἀνενεγκὼν ἐθάρρει καὶ πείσειν
a-shepherd then having-recovered he-took-heart and to-be-going-to-persuade
ἐνενόει τὸν πατέρα καὶ ἕνα τῶν μνωμένων αὑτὸν ἠρίθμει
thought the father and one of-the suitors himself counted
καὶ πολὺ κρατήσειν ἤλπιζε τῶν ἄλλων.
and much to-be-going-to-prevail hoped over-the others
Ἓν αὐτὸν ἐτάραττεν· οὐκ ἦν Λάμων πλούσιος· τοῦτο 26.2
one-thing him troubled not was Lamon rich this
μόνον αὐτοῦ τὴν ἐλπίδα λεπτὴν εἰργάζετο· ὅμως
only his the hope slender made nevertheless
δὲ ἐδόκει μνᾶσθαι, καὶ τῇ Χλόῃ συνεδόκει. Τῷ
but it-seemed-good to-woo and — to-Chloe it-seemed-good-too —
Λάμωνι μὲν οὖν οὐδὲν ἐτόλμησεν εἰπεῖν, τῇ Μυρτάλῃ δὲ
to-Lamon indeed then nothing he-dared to-say — to-Myrtale but
θαρρήσας καὶ τὸν ἔρωτα ἐμήνυσε καὶ περὶ τοῦ γάμου
having-taken-courage both the love revealed and about the marriage
λόγους προσήνεγκεν· ἡ δὲ τῷ Λάμωνι νύκτωρ ἐκοινώσατο.
words brought she and — with-Lamon by-night shared(-it)

26.3 Σκληρῶς δὲ ἐκείνου τὴν ἔντευξιν ἐνεγκόντος καὶ
harshly and he the petition having-borne and
λοιδορήσαντος εἰ παιδὶ θυγάτριον ποιμένων προξενεῖ
having-railed if for-a-boy a-little-daughter of-shepherds she-arranges
μεγάλην ἐν τοῖς γνωρίσμασιν ἐπαγγελλομένῳ τύχην, ὃς
great in the tokens promising fortune who
αὐτούς, εὑρὼν τοὺς οἰκείους, καὶ ἐλευθέρους θήσει καὶ
them having-found the kin both free will-make and
δεσπότας ἀγρῶν μειζόνων, ἡ Μυρτάλη διὰ τὸν ἔρωτα
masters of-fields greater — Myrtale because-of the love
φοβουμένη μὴ τελέως ἀπελπίσας ὁ Δάφνις τὸν γάμον
fearing lest utterly having-despaired — Daphnis the marriage
τολμήσῃ τι θανατῶδες, ἄλλας αὐτῷ τῆς ἀντιρρήσεως
should-dare something deadly other to-him of-the refusal
αἰτίας ἀπήγγειλε.
causes reported

26.4 "Πένητες ἐσμέν, ὦ παῖ, καὶ δεόμεθα νύμφης φερούσης
poor we-are O child and we-need a-bride bringing
τι μᾶλλον· οἱ δὲ πλούσιοι καὶ πλουσίων νυμφίων
something rather they and rich and of-rich bridegrooms
δεόμενοι. Ἴθι δή, πεῖσον Χλόην, ἡ δὲ τὸν πατέρα, μηδὲν
needing go now persuade Chloe she and the father nothing
αἰτεῖν μέγα· πάντως δή που κἀκείνη φιλεῖ σε καὶ βούλεται
to-ask great altogether indeed surely she-too loves you and wishes
συγκαθεύδειν πένητι καλῷ μᾶλλον ἢ πιθήκῳ πλουσίῳ."
to-sleep-with poor handsome rather than ape rich

27.1 Μυρτάλη μὲν οὔποτε ἐλπίσασα Δρύαντα τούτοις
Myrtale indeed never having-hoped Dryas to-these
συνθήσεσθαι μνηστῆρας ἔχοντα πλουσιωτέρους εὐπρεπῶς
to-be-going-to-agree suitors having richer plausibly
ᾤετο παρῃτῆσθαι τὸν γάμον· Δάφνις δὲ οὐκ εἶχε
thought to-have-declined the marriage Daphnis and not could

μέμφεσθαι τὰ λελεγμένα. Λειπόμενος δὲ πολὺ τῶν
to-blame the-things said falling-short and far of-the-things
αἰτουμένων τὸ σύνηθες ἐρασταῖς πενομένοις ἔπραττεν·
asked the usual for-lovers being-poor he-did
ἐδάκρυε καὶ τὰς Νύμφας αὖθις ἐκάλει βοηθούς.
he-wept and the Nymphs again called as-helpers
Αἱ δὲ αὐτῷ καθεύδοντι νύκτωρ ἐν τοῖς αὐτοῖς ἐφίστανται 27.2
they and to-him sleeping by-night in the same appear
σχήμασιν, ἐν οἷς καὶ πρότερον· ἔλεγε δὲ ἡ πρεσβυτάτη
forms in which also before said and the eldest
πάλιν "γάμου μὲν μέλει τῆς Χλόης ἄλλῳ θεῷ, δῶρα
again of-marriage indeed is-a-care — of-Chloe to-another god gifts
δέ σοι δώσομεν ἡμεῖς, ἃ θέλξει Δρύαντα.
and to-you will-give we which will-charm Dryas
Ἡ ναῦς ἡ τῶν Μηθυμναίων νεανίσκων, ἧς τὴν λύγον 27.3
the ship the of-the Methymnaean young-men of-which the willow
αἱ σαί ποτε αἶγες κατέφαγον, ἡμέρᾳ μὲν ἐκείνῃ μακρὰν
the your once goats ate-up on-day indeed that far
τῆς γῆς ὑπηνέχθη πνεύματι· νυκτὸς δὲ πελαγίου
from-the land was-carried-off by-wind of-night and from-the-open-sea
ταράξαντος ἀνέμου τὴν θάλατταν εἰς τὴν γῆν εἰς τὰς
having-troubled wind the sea onto the land onto the
τῆς ἄκρας πέτρας ἐξεβράσθη.
of-the headland rocks was-cast-up
Αὐτὴ μὲν οὖν διεφθάρη καὶ πολλὰ τῶν ἐν αὐτῇ· 27.4
it indeed then was-destroyed and much of-the in it
βαλάντιον δὲ τρισχιλίων δραχμῶν ὑπὸ τοῦ κύματος
a-purse and of-three-thousand drachmas by the wave
ἀπεπτύσθη καὶ κεῖται φυκίοις κεκαλυμμένον πλησίον
was-spat-out and lies with-seaweed covered near

δελφῖνος νεκροῦ, δι᾽ ὃν οὐδεὶς προσῆλθεν ὁδοιπόρος,
a-dolphin dead because-of which no-one approached wayfarer
τὸ δυσῶδες τῆς σηπεδόνος παρατρέχων.
the stench of-the rot running-past
27.5 Ἀλλὰ σὺ πρόσελθε καὶ προσελθὼν ἀνελοῦ καὶ ἀνελόμενος
but you approach and having-approached take-up and having-taken-up
δός. Ἱκανόν σοι νῦν μὲν δόξαι μὴ πένητι, χρόνῳ δὲ
give enough for-you now indeed to-seem not poor in-time and
ὕστερον ἔσῃ καὶ πλούσιος.”
later you-will-be also rich
28.1 Αἱ μὲν ταῦτα εἰποῦσαι τῇ νυκτὶ συναπῆλθον· γενομένης
they indeed these-things having-said with-the night departed-with having-become
δὲ ἡμέρας ἀναπηδήσας ὁ Δάφνις περιχαρὴς ἤλαυνε
and day having-leapt-up — Daphnis overjoyed drove
ῥοίζῳ πολλῷ τὰς αἶγας εἰς τὴν νομήν· καὶ τὴν Χλόην
with-whistling much the goats to the pasture and — Chloe
φιλήσας καὶ τὰς Νύμφας προσκυνήσας κατῆλθεν ἐπὶ
having-kissed and the Nymphs having-worshiped went-down to
θάλατταν, ὡς περιρράνασθαι θέλων· καὶ ἐπὶ τῆς ψάμμου
sea as to-sprinkle-himself wishing and on the sand
πλησίον τῆς κυματωγῆς ἐβάδιζε ζητῶν τὰς τρισχιλίας.
near the surf walked seeking the three-thousand
28.2 Ἔμελλε δὲ ἄρ᾽ οὐ πολὺν κάματον ἕξειν· ὁ γὰρ δελφὶς
he-was-to and then not much toil to-have the for dolphin
ὁ οὐκ ἀγαθὸν ὀδωδὼς αὐτῷ προσέπιπτεν ἐρριμμένος καὶ
the not good smelling to-him fell-in-with thrown-up and
μυδῶν· οὗ τῇ σηπεδόνι καθάπερ ἡγεμόνι χρώμενος
rotting of-which by-the rot as guide using
ὁδοῦ προσῆλθέ τε εὐθὺς καὶ τὰ φυκία ἀφελὼν
of-the-road he-approached both at-once and the seaweed having-removed
εὑρίσκει τὸ βαλάντιον ἀργυρίου μεστόν.
finds the purse of-silver full

Τοῦτο ἀνελόμενος καὶ εἰς τὴν πήραν ἐνθέμενος οὐ πρόσθεν 28.3
this having-taken-up and into the wallet having-put not before
sight and laughter much there-was so-that even the master their
ἤκουσε τοῦ γέλωτος, θορύβου ὄντος ἔξωθεν, καὶ ἤρετό
heard the laughter uproar being outside and asked
τινα ἐφ' ᾧ τοσοῦτον οἱ ἔξω γελῶσιν. ἐπεὶ δὲ ἤκουσεν,
someone at what so-much those outside laugh when and he-heard
ἐξανίσταται τοῦ συμποσίου καὶ διακύψας εἴσω ὁρᾷ με
he-gets-up from-the party and having-peeped in sees me
συὸς ἀγρίου μερίδα καταπίνοντα, καὶ μέγα ἐν γέλωτι
of-a-boar wild a-portion gulping-down and loudly in laughter
ἀναβοήσας εἰστρέχει εἴσω. κἀγὼ σφόδρα ἠχθόμην ἐπὶ τοῦ
having-shouted runs-in inside and-I greatly was-vexed before the
δεσπότου κλέπτης ἅμα καὶ λίχνος ἑαλωκώς. ὁ δὲ
master a-thief at-the-same-time and a-glutton having-been-caught he but
πολὺν εἶχεν ἐπ' ἐμοὶ γέλωτα, καὶ τὰ μὲν πρῶτα κελεύει με
much had at me laughter and the indeed first orders me
εἴσω ἄγεσθαι εἰς τὸ ἐκείνου συμπόσιον, ἔπειτα τράπεζάν
inside to-be-brought into the his party then a-table
μοι παραθεῖναι εἶπε καὶ εἶναι ἐπ' αὐτῇ πολλὰ τῶν ὅσα
for-me to-set he-said and to-be on it many of-the-things which

μὴ δυνατὸν ἄλλῳ ὄνῳ καταφαγεῖν, κρέα λοπάδας ζωμοὺς
not possible for-another ass to-eat meats dishes broths
ἰχθῦς, τοῦτο μὲν ἐν γάρῳ καὶ ἐλαίῳ κατακειμένους, τοῦτο
fish partly indeed in fish-sauce and oil lying partly
δὲ νάπυϊ ἐπικεχυμένους. κἀγὼ τὴν τύχην ὁρῶν ἤδη
and with-mustard poured-over and-I the fortune seeing now
ἁπαλόν μοι προσμειδιῶσαν καὶ μαθὼν ὅτι με τοῦτο
gently on-me smiling and having-learned that me this
μόνον τὸ παίγνιον ἀνασώσει, καίτοι ἤδη ἐμπεπλησμένος
alone the sport will-save and-yet already full
ὅμως ἠρίστων τῇ τραπέζῃ παραστάς. τὸ δὲ συμπόσιον
nevertheless lunched at-the table standing-by the and party
ἐκλονεῖτο τῷ γέλωτι. καί τις εἶπε, Καὶ πίεται οἶνον
shook with-the laughter and one said also will-drink wine
οὗτος ὁ ὄνος, ἤν τις αὐτῷ ἐγκερασάμενος ἐπιδῷ· καὶ
this the ass if one for-him having-mixed-it gives-it and
ὁ δεσπότης ἐκέλευσε κἀγὼ τὸ προσενεχθὲν ἔπιον.
the master ordered and-I the thing-offered drank
48 ὁ δὲ οἷον εἰκὸς ὁρῶν με κτῆμα παράδοξον τὴν μὲν
he and as was-likely seeing me a-possession marvelous the indeed
τιμὴν τὴν ἐμὴν κελεύει τῶν διοικητῶν τινι καταβαλεῖν
price the my orders of-the stewards one to-pay
τῷ ἐμὲ ὠνησαμένῳ καὶ ἄλλο τοσοῦτον, ἐμὲ δὲ
to-the-one me having-bought and as-much again me and
παρέδωκεν ἀπελευθέρῳ τῶν αὑτοῦ τινι νεανίσκῳ καὶ εἶπε
handed-over to-a-freedman of-the his-own one young-man and told-him
κατηχεῖν ὅσα ποιῶν μάλιστα ψυχαγωγεῖν αὐτὸν δυναίμην.
to-teach whatever doing most to-amuse him I-could
τῷ δέ γε ῥᾴδια ἦν πάντα· ὑπήκουον γὰρ εὐθὺ εἰς
for-him and at-least easy was everything I-obeyed for at-once in
ἅπαντα διδασκόμενος. καὶ πρῶτον μὲν κατακλίνεσθαί με
everything being-taught and first indeed to-recline me

ἐπὶ κλίνης ὥσπερ ἄνθρωπον ἐπ᾽ ἀγκῶνος ἐποίησεν, εἶτα
on a-couch like a-man on elbow he-made then
καὶ προσπαλαίειν αὐτῷ, καὶ μὴν καὶ ὀρχεῖσθαι ἐπὶ τοὺς
also to-wrestle with-him and indeed also to-dance on the
δύο ἐπανιστάμενον ὀρθὸν καὶ κατανεύειν καὶ ἀνανεύειν
two rising-up upright and to-nod-yes and to-nod-no
πρὸς τὰς φωνάς, καὶ πάνθ᾽ ὅσα ἐδυνάμην μὲν καὶ δίχα
at the words and everything which I-could indeed even without
τοῦ μανθάνειν, ποιεῖν· καὶ τὸ πρᾶγμα περιβόητον ἦν, ὄνος
the to-learn to-do and the matter notorious was an-ass
ὁ τοῦ δεσπότου, οἰνοπότης, παλαίων, ὄνος ὀρχούμενος.
the of-the master wine-drinking wrestling an-ass dancing
τὸ δὲ μέγιστον, ὅτι πρὸς τὰς φωνὰς ἀνένευον ἐν καιρῷ
the and greatest that at the words I-nodded-no in season
καὶ κατένευον· καὶ πιεῖν δὲ ὁπότε θελήσαιμι, ᾔτουν τοῖς
and nodded-yes and to-drink and whenever I-wished I-asked with-the
ὀφθαλμοῖς τὸν οἰνοχόον κινήσας. καὶ οἱ μὲν ἐθαύμαζον
eyes the wine-pourer having-nudged and they indeed marveled-at
τὸ πρᾶγμα ὡς παράδοξον ἀγνοοῦντες ἄνθρωπον ἐν τῷ
the matter as marvelous not-knowing a-man in the
ὄνῳ κείμενον· ἐγὼ δὲ τρυφὴν ἐποιούμην τὴν ἐκείνων
ass lying I but a-luxury made the their
ἄγνοιαν. καὶ μὴν καὶ βαδίζειν ἐμάνθανον καὶ κομίζειν τὸν
ignorance and indeed also to-pace I-learned and to-carry the
δεσπότην ἐπὶ νώτου καὶ τρέχειν δρόμον ἀλυπότατον καὶ
master on back and to-run a-course most-painless and
τῷ ἀναβάτῃ ἀναίσθητον. καὶ σκεύη μοι ἦν πολυτελῆ,
for-the rider imperceptible and trappings for-me were costly
καὶ στρώματα πορφυρᾶ ἐπιβάλλομαι, καὶ χαλινοὺς
and cloths purple I-put-on and bridles

εἰσεδεχόμην ἀργύρῳ καὶ χρυσῷ πεποικιλμένους, καὶ
I-took with-silver and gold adorned and
κώδωνες ἐξήπτοντό μου μέλος μουσικώτατον ἐκφωνοῦντες.
bells were-hung-on me a-tune most-musical sounding
49 ὁ δὲ Μενεκλῆς ὁ δεσπότης ἡμῶν, ὥσπερ ἔφην, ἐκ τῆς
— and Menecles the master our as I-said from —
Θεσσαλονίκης δεῦρο ἐληλύθει ἐπ᾽ αἰτίᾳ τοιαύτῃ· ὑπέσχετο
Thessalonica here had-come for reason such-a he-had-promised
τῇ πατρίδι θέαν παρέξειν ἀνδρῶν ὅπλοις πρὸς
to-the fatherland a-show to-be-going-to-provide of-men in-arms against
ἀλλήλους μονομαχεῖν εἰδότων· καὶ οἱ μὲν ἄνδρες
one-another to-fight-in-single-combat knowing-how and the indeed men
τῆς μάχης ἤδη ἦσαν ἐν παρασκευῇ, καὶ ἀφῖκτο ἡ
for-the fight already were in preparation and had-come the
πορεία. ἐξελαύνομεν ἕωθεν, κἀγὼ τὸν δεσπότην ἔφερον
journey we-set-out at-dawn and-I the master carried
εἴ ποτε χωρίον εἴη τῆς ὁδοῦ τραχὺ καὶ τοῖς ὀχήμασιν
if ever a-place were of-the road rough and for-the carriages
ἐπιβαίνειν χαλεπόν. ὡς δὲ κατέβημεν ἐπὶ Θεσσαλονίκην,
to-pass hard when and we-came-down to Thessalonica
οὐκ ἦν ὅστις ἐπὶ θέαν οὐκ ἠπείγετο καὶ τὴν ὄψιν
not there-was anyone-who to the-show not hurried and the sight
τὴν ἐμήν· ἡ γὰρ ἐμὴ δόξα προεληλύθει ἐκ μακροῦ καὶ τὸ
the my the for my fame had-gone-ahead from far both the
πολυπρόσωπον καὶ τὸ ἀνθρώπινον τῶν ἐμῶν ὀρχημάτων
many-sidedness and the human-quality of-the my dances
καὶ παλαισμάτων. ἀλλ᾽ ὁ μὲν δεσπότης τοῖς ἐνδοξοτάτοις
and wrestlings but the indeed master to-the most-eminent
τῶν αὑτοῦ πολιτῶν παρὰ τὸν πότον ἐδείκνυέ με καὶ τὰ
of-the his-own citizens at the drinking showed me and the
παράδοξα ἐκεῖνα τὰ ἐν ἐμοὶ παίγνια ἐν τῷ δείπνῳ παρετίθει.
marvelous those the in me sports at the dinner served-up

His keeper earns money showing Lucius, and a rich woman pays to spend a night with him. His master resolves to show the ass coupling with a condemned woman in the theater, but there Lucius sees roses carried past, eats them, and becomes a man again. Some spectators want him burned as a sorcerer. He tells the governor his story, and the governor, a friend of his parents, releases him; his brother arrives with money. The woman who loved him as an ass drives him out for having lost what she loved, and he sails home to Patrae.

ὁ δὲ ἐμὸς ἐπιστάτης πρόσοδον εὗρεν ἐξ ἐμοῦ πολλῶν 50
the and my keeper an-income found from me of-many
πάνυ δραχμῶν· κατακλείσας γάρ με ἔνδον εἶχεν ἑστῶτα, καὶ
very drachmas having-shut-up for me inside he-kept standing and
τοῖς βουλομένοις ἰδεῖν ἐμὲ καὶ τἀμὰ παράδοξα ἔργα μισθοῦ
to-those wishing to-see me and my marvelous deeds for-a-fee
τὴν θύραν ἤνοιγεν. οἱ δ' εἰσεκόμιζον ἄλλος ἄλλο τι
the door opened they and brought-in one another thing
τῶν ἐδωδίμων, μάλιστα τὸ ἐχθρὸν εἶναι ὄνου γαστρὶ
of-the eatables most the-thing hostile to-be to-an-ass's belly
δοκοῦν· ἐγὼ δὲ ἤσθιον. ὥστε ὀλίγων ἡμερῶν τῷ δεσπότῃ
seeming I but ate so-that within-few days with-the master
καὶ τοῖς ἐν τῇ πόλει συναριστῶν μέγας τε καὶ πίων δεινῶς
and those in the city lunching-with big both and fat terribly
ἤδη ἐγεγόνειν. καί ποτε γυνὴ ξένη οὐ μέτρια κεκτημένη,
now I-had-become and once a-woman foreign not moderate-means possessing
τὴν ὄψιν ἱκανή, παρελθοῦσα ἔσω ἰδεῖν ἐμὲ ἀριστῶντα
the face passable having-come inside to-see me lunching
εἰς ἔρωτά μου θερμὸν ἐμπίπτει, τοῦτο μὲν τὸ κάλλος
into love for-me hot falls partly indeed the beauty
ἰδοῦσα τοῦ ὄνου, τοῦτο δὲ τῷ παραδόξῳ τῶν ἐμῶν
having-seen of-the ass partly and by-the marvel of-the my

ἐπιτηδευμάτων εἰς ἐπιθυμίαν συνουσίας προελθοῦσα· καὶ
accomplishments into desire of-intercourse having-come and
διαλέγεται πρὸς τὸν ἐπιστάτην τὸν ἐμὸν καὶ μισθὸν αὐτῷ
talks to the keeper the my and a-fee to-him
ἁδρὸν ὑπέσχετο, εἰ συγχωρήσειεν αὐτῇ σὺν ἐμοὶ τὴν νύκτα
large promised if he-would-allow her with me the night
ἀναπαύσεσθαι· κἀκεῖνος οὐδὲν φροντίσας, εἴτε ἀνύσει
to-be-going-to-rest and-he not-at-all having-cared whether will-achieve
τι ἐκείνη ἐξ ἐμοῦ εἴτε καὶ μή, λαμβάνει τὸν μισθόν.
anything she from me or also not takes the fee
51 κἀπειδὴ ἑσπέρα τε ἦν ἤδη κἀκ τοῦ συμποσίου ἀφῆκεν
and-when evening both was now and-from the party dismissed
ἡμᾶς ὁ δεσπότης, ἀναστρέφομεν ἔνθα ἐκαθεύδομεν, καὶ
us the master we-return where we-slept and
τὴν γυναῖκα εὕρομεν πάλαι ἀφιγμένην ἐπὶ τὴν ἐμὴν εὐνήν.
the woman we-found long-since arrived at the my bed
κεκόμιστο δὲ αὐτῇ προσκεφάλαια μαλακὰ καὶ στρώματα
had-been-brought and for-her pillows soft and coverlets
εἴσω κατέθεντο καὶ χαμεύνιον ἡμῖν εὐτρεπὲς ἦν. εἶτα οἱ μὲν
inside they-laid and a-pallet for-us ready was then the indeed
τῆς γυναικὸς θεράποντες αὐτοῦ που πλησίον πρὸ τοῦ
of-the woman servants there somewhere near before the
δωματίου ἐκάθευδον, ἡ δὲ λύχνον ἔνδον ἔκαιε μέγαν τῷ
chamber slept she and a-lamp inside lit large with-the
πυρὶ λαμπόμενον· ἔπειτα ἀποδυσαμένη παρέστη τῷ λύχνῳ
fire blazing then having-undressed stood-by the lamp
γυμνὴ ὅλη καὶ μύρον ἔκ τινος ἀλαβάστρου προχεαμένη
naked all and perfume from a flask having-poured-out
τούτῳ ἀλείφεται, κἀμὲ δὲ μυρίζει ἔνθεν, μάλιστα τὴν ῥῖνά
with-this anoints-herself and-me and perfumes thence especially the nose
μου μύρων ἐνέπλησεν, εἶτά με καὶ ἐφίλησε καὶ οἷα πρὸς
my with-perfume she-filled then me also kissed and as to

αὐτῆς ἐρώμενον καὶ ἄνθρωπον διελέγετο καί με ἐκ τῆς
her-own beloved and a-man talked and me by the
φορβειᾶς ἐπιλαβομένη ἐπὶ τὸ χαμεύνιον εἵλκε· κἀγὼ οὐδέν
halter having-taken-hold onto the pallet drew and-I not-at-all
τι τοῦ παρακαλέσαντος εἰς τοῦτο δεόμενος καὶ
in-any-way of-the-one urging to this needing and
οἴνῳ δὲ παλαιῷ πολλῷ ὑποβεβρεγμένος καὶ τῷ χρωτὶ
with-wine and old much soaked and by-the touch
τοῦ μύρου οἰστρημένος καὶ τὴν παιδίσκην δὲ ὁρῶν πάντα
of-the perfume maddened and the girl and seeing in-all
καλὴν κλίνομαι, καὶ σφόδρα ἠπόρουν ὅπως ἀναβήσομαι
beautiful I-lie-down and greatly I-was-at-a-loss how I-will-mount
τὴν ἄνθρωπον· καὶ γὰρ ἐξ ὅτου ἐγεγόνειν ὄνος, συνουσίας
the woman and for since when I-had-become an-ass intercourse
ἀλλ᾽ οὐδὲ τῆς ὄνοις συνήθους ἔτυχον ἁψάμενος, οὐδὲ
but not-even the for-asses usual happened having-touched nor
γυναικὶ ἐχρησάμην ὄνῳ· καὶ μὴν καὶ τοῦτό μ᾽ εἰς δέος οὐχὶ
a-woman I-had-used ass and indeed also this me into fear not
μέτριον ἦγε, μὴ οὐ χωρήσασα ἡ γυνὴ διασπασθῇ, κἀγὼ
moderate brought lest not having-made-room the woman be-torn-apart and-I
ὥσπερ ἀνδροφόνος καλὴν δώσω δίκην. ἠγνόουν δὲ οὐκ
like a-murderer fine will-pay penalty I-did-not-know but not
εἰς δέον δεδιώς· ἡ γὰρ γυνὴ πολλοῖς τοῖς φιλήμασι, καὶ
to need having-feared the for woman with-many the kisses and
τούτοις ἐρωτικοῖς, προκαλουμένη ὡς εἶδεν οὐ κατέχοντα,
these amorous provoking when she-saw not holding-back
ὥσπερ ἀνδρὶ παρακειμένη περιβάλλεταί με καὶ ἄρασα
as-if by-a-man lying embraces me and having-raised
εἴσω ὅλον παρεδέξατο. κἀγὼ μὲν ὁ δειλὸς ἐδεδοίκειν ἔτι
in whole received and-I indeed the coward feared still
καὶ ὀπίσω ἀπῆγον ἐμαυτὸν ἀτρέμα, ἡ δὲ τῆς τε ὀσφύος
and back drew myself gently she but the both loins

τῆς ἐμῆς εἶχετο, ὥστε μὴ ὑποχωρεῖν, καὶ αὐτὴ εἵπετο τὸ
the my held so-as not to-withdraw and herself followed the
φεῦγον. ἐπεὶ δὲ ἀκριβῶς ἐπείσθην ἔτι μοι καὶ προσδεῖν
retreating when and fully I-was-persuaded still for-me even to-be-lacking
πρὸς τὴν τῆς γυναικὸς ἡδονήν τε καὶ τέρψιν, ἀδεῶς
for the of-the woman pleasure both and delight fearlessly
λοιπὸν ὑπηρέτουν ἐννοούμενος ὡς οὐδὲν εἴην κακίων
thenceforth I-served thinking that not-at-all I-was worse
τοῦ τῆς Πασιφάης μοιχοῦ. ἡ δὲ γυνὴ οὕτως ἦν ἄρα ἐς
than-the — of-Pasiphae lover the and woman so was it-seems for
τὰ ἀφροδίσια ἑτοίμη καὶ τῆς ἀπὸ τῆς συνουσίας ἡδονῆς
the pleasures-of-love ready and of-the from the intercourse pleasure
ἀκόρεστος, ὥστε ὅλην τὴν νύκτα ἐν ἐμοὶ ἐδαπάνησεν.
insatiable so-that whole the night on me spent
52 ἅμα δὲ τῇ ἡμέρᾳ ἡ μὲν ἀναστᾶσα ἀπῇει συνθεμένη
together-with and the day she indeed having-risen went-away having-agreed
πρὸς τὸν ἐπιστάτην τὸν ἐμὸν οἴσειν ἐπὶ τοῖς αὐτοῖς
with the keeper the my to-be-going-to-bring on the same-terms
τὸν μισθὸν τὸν αὐτὸν τῆς νυκτός. ὁ δὲ ἅμα μὲν
the fee the same for-the night he and at-the-same-time indeed
πλουσιώτερος ἐκ τῶν ἐμῶν γενόμενος καὶ τῷ δεσπότῃ
richer from the my-doings becoming and to-the master
καινότερον ἐν ἐμοὶ ἐπιδειξόμενος συγκατακλείει με τῇ
something-newer in me going-to-show shuts-in-together me with-the
γυναικί· ἡ δὲ κατεχρήσατό μοι δεινῶς. καί ποτε ἐλθὼν ὁ
woman she and used me terribly and once having-gone the
ἐπιστάτης ἀπαγγέλλει τῷ δεσπότῃ τὸ ἔργον, ὡς ἂν αὐτὸς
keeper reports to-the master the affair as — himself
διδάξας, καὶ ἐμοῦ μὴ εἰδότος ἄγει αὐτὸν ἑσπέρας ἤδη
having-taught and I not knowing leads him in-the-evening now
ἔνθα ἐκαθεύδομεν, καὶ διά τινος ὀπῆς τῆς θύρας δείκνυσί

με ἔνδον τῇ μείρακι συνευναζόμενον. ὁ δὲ ἡσθεὶς τῇ
me inside with-the girl sleeping he and pleased with-the
θέᾳ καὶ δημοσίᾳ με ταῦτα ποιοῦντα δεῖξαι ἐπεθύμησε,
sight and in-public me these-things doing to-show desired
καὶ κελεύει πρὸς μηδένα ἔξω τοῦτο εἰπεῖν, Ἵνα, ἔφη, ἐν
and orders to no-one outside this to-tell so-that he-said on
τῇ ἡμέρᾳ τῆς θέας παραγάγωμεν τοῦτον εἰς τὸ θέατρον
the day of-the show we-may-bring-on him into the theater
σύν τινι τῶν καταδεδικασμένων γυναικῶν, κἀν πάντων
with one of-the condemned women and-in of-all
ὀφθαλμοῖς ἐπὶ τὴν γυναῖκα ἀναβήσεται. καί τινα τῶν
the-eyes upon the woman he-will-mount and one of-the
γυναικῶν, ἥτις κατεκέκριτο θηρίοις ἀποθανεῖν, ἄγουσιν
women who had-been-condemned by-beasts to-die they-bring
ἔνδον παρ᾽ ἐμὲ καὶ προσιέναι τε ἐκέλευον καὶ ψαύειν ἐμοῦ.
inside to me and to-approach both bade and to-touch me
εἶτα τὸ τελευταῖον τῆς ἡμέρας ἐκείνης ἐνστάσης, ἐν ᾗ 53
then the last of-the day that having-come on which
τὰς φιλοτιμίας ἦγεν ὁ ἐμὸς δεσπότης, εἰσάγειν ἔγνωσάν
the shows held the my master to-bring-in they-resolved
με εἰς τὸ θέατρον. καὶ εἰσῄειν οὕτω· κλίνη ἦν μεγάλη,
me into the theater and I-went-in thus a-couch was great
ἀπὸ χελώνης Ἰνδικῆς πεποιημένη, χρυσῷ ἐσφηκωμένη,
of tortoise-shell Indian made with-gold studded
ἐπὶ ταύτῃ με ἀνακλίνουσι κἀκεῖ μοι τὴν γυναῖκα
on this me they-lay and-there beside-me the woman
παρακατέκλιναν. εἶτα οὕτως ἡμᾶς ἐπέθηκαν ἐπί τινος
they-laid then thus us they-set on a
μηχανήματος καὶ εἴσω εἰς τὸ θέατρον παρενέγκαντες
machine and inside into the theater having-carried
κατέθηκαν ἐν τῷ μέσῳ, καὶ οἱ ἄνθρωποι μέγα ἀνεβόησαν
set-down in the middle and the people loudly shouted

καὶ κρότος πάσης χειρὸς ἐξήλατο ἐπ᾽ ἐμοί, καὶ τράπεζα
and applause of-every hand burst-out at me and a-table
ἡμῖν παρέκειτο καὶ πολλὰ ἐσκευασμένα ἐπ᾽ αὐτῇ ἔκειτο
for-us was-set and many-things prepared on it lay
ὅσα τρυφῶντες ἄνθρωποι ἐν δείπνῳ ἔχουσι. καὶ παῖδες
such-as luxurious people at dinner have and boys
ἡμῖν παρειστήκεισαν οἰνοχόοι καλοὶ τὸν οἶνον ἡμῖν χρυσίῳ
for-us stood-by wine-pourers handsome the wine for-us in-gold
διακονούμενοι. ὁ μὲν οὖν ἐμὸς ἐπιστάτης ἑστὼς ὄπισθεν
serving the indeed then my keeper standing behind
ἐκέλευέ με ἀριστᾶν· ἐγὼ δὲ ἅμα μὲν ᾐδούμην
bade me to-lunch I but at-the-same-time indeed was-ashamed
ἐν τῷ θεάτρῳ κατακείμενος, ἅμα δὲ ἐδεδίειν μή
in the theater lying at-the-same-time and feared lest
που ἄρκτος ἢ λέων ἀναπηδήσεται.
somewhere a-bear or a-lion will-spring-up
54 ἐν τούτῳ δέ τινος ἄνθη φέροντος παροδεύοντος ἐν
in this and someone flowers carrying passing-by among
τοῖς ἄλλοις ἄνθεσιν ὁρῶ καὶ ῥόδων χλωρῶν φύλλα, καὶ
the other flowers I-see also of-roses fresh petals and
μηδὲν ἔτι ὀκνῶν ἀναπηδήσας τοῦ λέχους ἐκπίπτω·
not-at-all any-longer hesitating having-leapt-up from-the couch I-rush-out
καὶ οἱ μὲν ᾠοντό με ἀνίστασθαι ὀρχησόμενον· ἐγὼ δὲ
and they indeed thought me to-be-getting-up to-dance I but
ἓν ἐξ ἑνὸς ἐπιτρέχων καὶ ἀπανθιζόμενος ἀπ᾽ αὐτῶν τῶν
one after one running-over and plucking from the-very the
ἀνθέων τὰ ῥόδα κατέπινον. τῶν δὲ ἔτι θαυμαζόντων ἐπ᾽
flowers the roses gulped-down they and still marveling at
ἐμοὶ ἀποπίπτει ἐξ ἐμοῦ ἐκείνη ἡ τοῦ κτήνους ὄψις καὶ
me falls-off from me that the of-the beast look and
ἀπόλλυται, καὶ ἀφανὴς ἐκεῖνος ὁ πάλαι ὄνος, ὁ δὲ Λούκιος
perishes and vanished that the former ass — and Lucius

αὐτὸς ἔνθεν μοι γυμνὸς εἱστήκει. τῇ δὲ παραδόξῳ
himself there for-me naked stood at-the and marvelous
ταύτῃ καὶ μηδέποτε ἐλπισθείσῃ θέᾳ πάντες ἐκπεπληγμένοι
this and never hoped-for sight all astounded
δεινὸν ἐπεθορύβησαν καὶ τὸ θέατρον εἰς δύο γνώμας
terribly raised-an-uproar and the theater into two opinions
ἐσχίζετο· οἱ μὲν γὰρ ὥσπερ φάρμακα δεινὰ ἐπιστάμενον
was-split some indeed for as drugs terrible knowing
καὶ κακόν τι πολύμορφον ἠξίουν εὐθὺς ἔνδον πυρί με
and an-evil something many-shaped thought-fit at-once inside by-fire me
ἀποθανεῖν, οἱ δὲ περιμεῖναι καὶ τοὺς ἀπ᾽ ἐμοῦ λόγους
to-die others and to-wait and the from me words
ἔλεγον δεῖν καὶ πρότερον διαγνῶναι, εἶθ᾽ οὕτως
said to-be-necessary and first to-examine then thus
δικάσαι περὶ τούτων. κἀγὼ δραμὼν πρὸς τὸν ἄρχοντα
to-judge about these-things and-I having-run to the governor
τῆς ἐπαρχίας — ἔτυχε δὲ τῇ θέᾳ ταύτῃ παρών —
of-the province he-happened and at-the show this being-present
ἔλεγον κάτωθεν ὅτι γυνή με Θετταλὴ γυναικὸς Θετταλῆς
I-said from-below that a-woman me Thessalian of-a-woman Thessalian
δούλη χρίσματι μεμαγευμένῳ ἐπαλείψασα ὄνον ποιήσειε,
slave with-an-ointment bewitched having-anointed an-ass made
καὶ ἱκέτευον αὐτὸν λαβόντα ἔχειν με ἐν φρουρᾷ ἐστ᾽ ἂν
and I-begged him having-taken to-keep me in custody until —
αὐτὸν πείσαιμι, ὡς οὐ καταψεύδομαι οὕτω γεγονός.
him I-could-persuade that not I-lie thus having-happened
καὶ ὁ ἄρχων, Λέγε, φησίν, ἡμῖν ὄνομα τὸ σὸν καὶ γονέων 55
and the governor tell says us name the your and of-parents
τῶν σῶν καὶ συγγενῶν, εἴ τινας φὴς ἔχειν τῷ γένει
the your and of-kinsmen if any you-say to-have by-the family
προσήκοντας, καὶ πόλιν. κἀγώ, Πατὴρ μέν, ἔφην, ***
related and city and-I father indeed I-said (lacuna)

ἔστι μοι Λούκιος, τῷ δὲ ἀδελφῷ τῷ ἐμῷ Γάϊος· ἄμφω δὲ
is to-me Lucius for-the and brother the my Gaius both and
τὰ λοιπὰ δύο ὀνόματα κοινὰ ἔχομεν. κἀγὼ μὲν ἱστοριῶν
the remaining two names common we-have and-I indeed of-histories
καὶ ἄλλων εἰμὶ συγγραφεύς, ὁ δὲ ποιητὴς ἐλεγείων ἐστὶ
and other-works am writer he and poet of-elegies is
καὶ μάντις ἀγαθός· πατρὶς δὲ ἡμῖν Πάτραι τῆς Ἀχαΐας. ὁ
and seer good fatherland and our Patrae — of-Achaea the
δὲ δικαστὴς ἐπεὶ ταῦτα ἤκουσε, Φιλτάτων ἐμοί, ἔφη, λίαν
and judge when these-things heard dearest to-me he-said very
ἀνδρῶν υἱὸς εἶ καὶ ξένων οἰκίᾳ τέ με ὑποδεξαμένων
of-men son you-are and hosts with-house both me having-received
καὶ δώροις τιμησάντων, καὶ ἐπίσταμαι ὅτι οὐδὲν ψεύδῃ
and with-gifts having-honored and I-know that nothing you-lie
παῖς ἐκείνων ὤν· καὶ τοῦ δίφρου ἀναπηδήσας περιβάλλει
son of-those being and from-the seat having-leapt-up embraces-me
τε καὶ πολλὰ ἐφίλει, καί με οἴκαδε ἦγεν ὡς ἑαυτόν.
both and much kissed-me and me home led to himself
ἐν τούτῳ δὲ καὶ ὁ ἐμὸς ἀδελφὸς ἀφίκετο ἀργύριον καὶ
in this and also the my brother arrived money and
ἄλλα μοι πολλὰ κομίζων, κἀν τούτῳ με ὁ ἄρχων
other-things for-me many bringing and-in this me the governor
δημοσίᾳ πάντων ἀκουόντων ἀπολύει. καὶ ἐλθόντες ἐπὶ
publicly all hearing releases and having-gone to
θάλασσαν ναῦν ἐσκεψάμεθα καὶ τὴν ἀποσκευὴν ἐνεθέμεθα.
the-sea a-ship we-looked-for and the baggage put-on-board
56 ἐγὼ δὲ κράτιστον εἶναι ἔγνων ἐλθεῖν παρὰ τὴν γυναῖκα
I and best to-be judged to-go to the woman
τὴν ἐρασθεῖσαν μου τοῦ ὄνου, καλλίων αὐτῇ φανεῖσθαι
the-one having-loved me the ass handsomer to-her to-be-going-to-appear
λέγων νῦν ἐν ἀνθρώπῳ ὤν. ἡ δὲ ἀσμένη τέ μ᾽ εἰσεδέξατο
saying now in a-man being she and gladly both me received

τῷ παραδόξῳ, οἶμαι, τοῦ πράγματος ἐπιτερπομένη, καὶ
by-the strangeness I-think of-the affair delighted and
δειπνεῖν σὺν αὐτῇ καὶ καθεύδειν ἱκέτευε· κἀγὼ ἐπειθόμην
to-dine with her and to-sleep begged and-I consented
νεμέσεως ἄξιον εἶναι νομίζων τὸν ὄνον τὸν ἀγαπηθέντα
of-retribution worthy to-be thinking the ass the-one loved
νῦν γενόμενον ἄνθρωπον ὑπερτρυφᾶν καὶ τὴν ἐρασθεῖσαν
now having-become a-man to-be-haughty and the lover
ὑπερορᾶν· καὶ δειπνῶ σὺν αὐτῇ καὶ πολὺ ἐκ τοῦ μύρου
to-disdain and I-dine with her and much from the perfume
ἀλείφομαι καὶ στεφανοῦμαι τῷ φιλτάτῳ ἐς ἀνθρώπους με
I-anoint-myself and crown-myself with-the dearest into humans me
ἀνασώσαντι ῥόδῳ. ἐπεὶ δὲ ἦν νὺξ βαθεῖα ἤδη καὶ καθεύδειν
having-restored rose when and it-was night deep now and to-sleep
ἔδει, κἀγὼ δ' ἐπανίσταμαι καὶ ὡσπερεὶ μέγα τι
it-was-necessary and-I and get-up and as-if great something
ἀγαθὸν ποιῶν ἀποδύομαι καὶ ἵσταμαι γυμνὸς ὡς δῆθεν ἔτι
good doing strip and stand naked as forsooth still
μᾶλλον ἀρέσων ἐκ τῆς πρὸς τὸν ὄνον συγκρίσεως. ἡ
more going-to-please from the with the ass comparison she
δὲ ἐπειδὴ εἶδέ με πάντα ἀνθρώπινα ἔχοντα, προσπτύσασά
but when she-saw me all human having having-spat-at
μοι, Οὐ φθείρῃ ἀπ' ἐμοῦ, ἔφη, καὶ τῆς ἐμῆς οἰκίας καὶ
me not will-you-get-out from me she-said and the my house and
μακρὰν ἀπελθὼν κοιμήσῃ; ἐμοῦ δ' ἐρομένου, Τί γὰρ καὶ
far having-gone sleep I and asking what for then
ἡμάρτηταί μοι τοσοῦτο; Ἐγώ, ἔφη, μὰ Δί' οὐχὶ σοῦ,
has-been-done-wrong by-me so-great I she-said by Zeus not you
ἀλλὰ τοῦ ὄνου τοῦ σοῦ ἐρῶσα τότε ἐκείνῳ καὶ οὐχὶ σοὶ
but the ass the your loving then with-him and not with-you
συνεκάθευδον, καὶ ᾤμην σε καὶ νῦν κἂν ἐκεῖνό γε μόνον
slept and I-thought you even now at-least that at-least only

τὸ μέγα τοῦ ὄνου σύμβολον διασώζειν καὶ σύρειν· σὺ δέ
the great of-the ass token to-preserve and to-trail you but
μοι ἐλήλυθας ἐξ ἐκείνου τοῦ καλοῦ καὶ χρησίμου ζῴου ἐς
to-me have-come from that the fine and useful creature into
πίθηκον μεταμορφωθείς. καὶ καλεῖ εὐθὺς ἤδη τοὺς οἰκέτας
an-ape transformed and calls at-once now the servants
καὶ κελεύει με τῶν νώτων μετέωρον κομισθῆναι ἔξω τῆς
and orders me by-the back aloft to-be-carried out of-the
οἰκίας, καὶ ἐξωσθεὶς πρὸ τοῦ δωματίου ἔξω γυμνὸς καλῶς
house and thrust-out before the chamber outside naked finely
ἐστεφανωμένος καὶ μεμυρισμένος τὴν γῆν γυμνὴν περιλαβὼν
crowned and perfumed the earth bare having-embraced
ταύτῃ συνεκάθευδον. ἅμα δὲ τῷ ὄρθρῳ γυμνὸς ὢν
with-it I-slept together-with and the dawn naked being
ἔθεον ἐπὶ ναῦν καὶ λέγω πρὸς τὸν ἀδελφὸν τὴν ἐμαυτοῦ
I-ran to the-ship and tell to the brother the my-own
ἐν γέλωτι συμφοράν. ἔπειτα ἐκ τῆς πόλεως δεξιοῦ
in laughter mishap then from the city a-favorable
πνεύσαντος ἀνέμου πλέομεν ἔνθεν, καὶ ὀλίγαις ἡμέραις
having-blown wind we-sail thence and few in-days
ἔρχομαι εἰς τὴν ἐμὴν πατρίδα. ἐνταῦθα θεοῖς σωτῆρσιν
I-come to the my fatherland there to-gods saviors
ἔθυον καὶ ἀναθήματα ἀνέθηκα, μὰ Δί᾽ οὐκ ἐκ κυνὸς
I-sacrificed and offerings dedicated by Zeus not from a-dog's
πρωκτοῦ, τὸ δὴ τοῦ λόγου, ἀλλ᾽ ἐξ ὄνου περιεργίας
rump the indeed of-the saying but from an-ass's meddling
διὰ μακροῦ πάνυ, καὶ οὕτω δὲ μόλις, οἴκαδε ἀνασωθείς.
after long-time very and thus and scarcely home restored

LUCIAN

ΑΛΗΘΩΝ ΔΙΗΓΗΜΑΤΩΝ

A True History

BOOK I

ΑΛΗΘΩΝ ΔΙΗΓΗΜΑΤΩΝ

I · A TRUE ACCOUNT OF LIES

Athletes need rest as well as exercise, Lucian says, and readers need light reading after serious books, provided it has some wit and something to think about. His stories glance at the poets, historians, and philosophers who told marvels as fact, such as Ctesias on India, Iambulus on the outer sea, and Homer's Odysseus among the Phaeacians. He does not blame them for lying but for thinking it would pass unnoticed, so he will be more honest: everything he writes is a lie.

Ὥσπερ τοῖς ἀθλητικοῖς καὶ περὶ τὴν τῶν σωμάτων 1
just-as for-the athletes and about the of-the bodies
ἐπιμέλειαν ἀσχολουμένοις οὐ τῆς εὐεξίας μόνον οὐδὲ τῶν
care busied not of-the fitness only nor of-the
γυμνασίων φροντίς ἐστιν, ἀλλὰ καὶ τῆς κατὰ καιρὸν
exercises care is but also of-the in season
γινομένης ἀνέσεως — μέρος γοῦν τῆς ἀσκήσεως τὸ
taken relaxation part at-any-rate of-the training the
μέγιστον αὐτὴν ὑπολαμβάνουσιν — οὕτω δὴ καὶ τοῖς
greatest it they-consider so indeed also for-those
περὶ τοὺς λόγους ἐσπουδακόσιν ἡγοῦμαι προσήκειν μετὰ
about the letters having-been-earnest I-think to-be-fitting after
τὴν πολλὴν τῶν σπουδαιοτέρων ἀνάγνωσιν ἀνιέναι τε
the much of-the more-serious-works reading to-relax both
τὴν διάνοιαν καὶ πρὸς τὸν ἔπειτα κάματον ἀκμαιοτέραν
the mind and for the following labor fresher
παρασκευάζειν.
to-make

2 γένοιτο δ' ἂν ἐμμελὴς ἡ ἀνάπαυσις αὐτοῖς, εἰ τοῖς
would-be and — suitable the rest for-them if with-the
τοιούτοις τῶν ἀναγνωσμάτων ὁμιλοῖεν, ἃ μὴ
such of-the readings they-should-keep-company which not
μόνον ἐκ τοῦ ἀστείου τε καὶ χαρίεντος ψιλὴν παρέξει τὴν
only from the wit both and charm bare will-afford the
ψυχαγωγίαν, ἀλλά τινα καὶ θεωρίαν οὐκ ἄμουσον ἐπιδείξεται,
entertainment but some also reflection not uncultured will-display
οἷόν τι καὶ περὶ τῶνδε τῶν συγγραμμάτων αὐτοὺς
such-as something also about these the writings them
φρονήσειν ὑπολαμβάνω· οὐ γὰρ μόνον τὸ ξένον τῆς
to-be-going-to-think I-suppose not for only the novelty of-the
ὑποθέσεως οὐδὲ τὸ χαρίεν τῆς προαιρέσεως ἐπαγωγὸν ἔσται
subject nor the charm of-the design attractive will-be
αὐτοῖς οὐδ' ὅτι ψεύσματα ποικίλα πιθανῶς τε καὶ ἐναλήθως
to-them nor that lies varied plausibly both and truthlike
ἐξενηνόχαμεν, ἀλλ' ὅτι καὶ τῶν ἱστορουμένων ἕκαστον οὐκ
we-have-produced but that also of-the things-told each not
ἀκωμῳδήτως ἤνικται πρός τινας τῶν παλαιῶν ποιητῶν τε
without-comedy is-hinted-at at some of-the ancient poets both
καὶ συγγραφέων καὶ φιλοσόφων πολλὰ τεράστια καὶ μυθώδη
and historians and philosophers many marvels and fables
συγγεγραφότων, οὓς καὶ ὀνομαστὶ ἂν ἔγραφον, εἰ μὴ καὶ
having-written whom also by-name — I-would-write if not also
αὐτῷ σοι ἐκ τῆς ἀναγνώσεως φανεῖσθαι ἔμελλον ***
yourself to-you from the reading to-be-plain they-were-about (lacuna)

3 Κτησίας ὁ Κτησιόχου ὁ Κνίδιος, ὃς συνέγραψεν περὶ
Ctesias the-son-of Ctesiochus the Cnidian who wrote about
τῆς Ἰνδῶν χώρας καὶ τῶν παρ' αὐτοῖς ἃ μήτε αὐτὸς
the Indians' country and the-things among them which neither himself
εἶδεν μήτε ἄλλου ἀληθεύοντος ἤκουσεν. ἔγραψε δὲ καὶ
saw nor from-another telling-the-truth heard wrote and also

Ἰαμβοῦλος περὶ τῶν ἐν τῇ μεγάλῃ θαλάττῃ πολλὰ
Iambulus about the-things in the great sea many
παράδοξα, γνώριμον μὲν ἅπασι τὸ ψεῦδος πλασάμενος,
marvels known indeed to-all the lie having-fabricated
οὐκ ἀτερπῆ δὲ ὅμως συνθεὶς τὴν ὑπόθεσιν. πολλοὶ
not unpleasing but nevertheless having-composed the story many
δὲ καὶ ἄλλοι τὰ αὐτὰ τούτοις προελόμενοι συνέγραψαν
and also others the same as-these having-chosen wrote
ὡς δή τινας ἑαυτῶν πλάνας τε καὶ ἀποδημίας, θηρίων
as indeed some their-own wanderings both and travels of-beasts
τε μεγέθη ἱστοροῦντες καὶ ἀνθρώπων ὠμότητας καὶ
both sizes relating and of-men savageries and
βίων καινότητας· ἀρχηγὸς δὲ αὐτοῖς καὶ διδάσκαλος τῆς
of-lives novelties leader and for-them and teacher of-the
τοιαύτης βωμολοχίας ὁ τοῦ Ὁμήρου Ὀδυσσεύς, τοῖς
such buffoonery the — of-Homer Odysseus to-those
περὶ τὸν Ἀλκίνουν διηγούμενος ἀνέμων τε δουλείαν
around — Alcinous relating of-winds both bondage
καὶ μονοφθάλμους καὶ ὠμοφάγους καὶ ἀγρίους τινὰς
and one-eyed-men and raw-eaters and savage some
ἀνθρώπους, ἔτι δὲ πολυκέφαλα ζῷα καὶ τὰς ὑπὸ
men further and many-headed creatures and the by
φαρμάκων τῶν ἑταίρων μεταβολάς, οἷα πολλὰ ἐκεῖνος
drugs of-the comrades transformations such-things many he
πρὸς ἰδιώτας ἀνθρώπους τοὺς Φαίακας ἐτερατεύσατο.
to simple folk the Phaeacians told-as-marvels
τούτοις οὖν ἐντυχὼν ἅπασιν, τοῦ ψεύσασθαι μὲν οὐ 4
these then having-read all for-the to-lie indeed not
σφόδρα τοὺς ἄνδρας ἐμεμψάμην, ὁρῶν ἤδη σύνηθες
much the men I-blamed seeing already customary
ὂν τοῦτο καὶ τοῖς φιλοσοφεῖν ὑπισχνουμένοις· ἐκεῖνο
being this even for-those to-philosophize professing that

δὲ αὐτῶν ἐθαύμασα, εἰ ἐνόμιζον λήσειν οὐκ
but in-them I-wondered-at if they-thought to-be-going-to-escape-notice not
ἀληθῆ συγγράφοντες. διόπερ καὶ αὐτὸς ὑπὸ κενοδοξίας
true-things writing wherefore also I-myself from vanity
ἀπολιπεῖν τι σπουδάσας τοῖς μεθ' ἡμᾶς, ἵνα μὴ
to-leave-behind something being-eager to-those after us so-that not
μόνος ἄμοιρος ὦ τῆς ἐν τῷ μυθολογεῖν ἐλευθερίας,
alone without-a-share I-may-be of-the in the to-tell-tales freedom
ἐπεὶ μηδὲν ἀληθὲς ἱστορεῖν εἶχον — οὐδὲν γὰρ ἐπεπόνθειν
since nothing true to-relate I-had nothing for I-had-experienced
ἀξιόλογον — ἐπὶ τὸ ψεῦδος ἐτραπόμην πολὺ τῶν ἄλλων
worth-telling to the lie I-turned much than-the others
εὐγνωμονέστερον· κἂν ἓν γὰρ δὴ τοῦτο ἀληθεύσω
more-honestly even one-thing for indeed this I-will-tell-truly
λέγων ὅτι ψεύδομαι. οὕτω δ' ἄν μοι δοκῶ καὶ τὴν παρὰ
saying that I-lie thus and — to-myself I-seem also the from
τῶν ἄλλων κατηγορίαν ἐκφυγεῖν αὐτὸς ὁμολογῶν μηδὲν
the others accusation to-escape myself confessing nothing
ἀληθὲς λέγειν. γράφω τοίνυν περὶ ὧν μήτε εἶδον
true to-say I-write then about things-which neither I-saw
μήτε ἔπαθον μήτε παρ' ἄλλων ἐπυθόμην, ἔτι δὲ μήτε
nor experienced nor from others learned further and neither
ὅλως ὄντων μήτε τὴν ἀρχὴν γενέσθαι δυναμένων. διὸ
at-all existing nor — at-all to-come-to-be able therefore
δεῖ τοὺς ἐντυγχάνοντας μηδαμῶς πιστεύειν αὐτοῖς.
it-is-necessary those reading by-no-means to-believe them

Lucian sets out past the Pillars of Heracles with fifty companions to learn what lies beyond the ocean. After a storm of seventy-nine days they land on a wooded island, where a bronze pillar marks how far Heracles and Dionysus came. A river of wine flows there, full of fish that make the eaters drunk, and the vines are women from the waist up; two comrades who embrace them take root. Back at sea, a whirlwind lifts the ship high into the air.

Ὁρμηθεὶς γάρ ποτε ἀπὸ Ἡρακλείων στηλῶν καὶ ἀφεὶς
having-set-out for once from Heraclean Pillars and having-put-out
εἰς τὸν ἑσπέριον ὠκεανὸν οὐρίῳ ἀνέμῳ τὸν πλοῦν
into the western ocean with-a-fair wind the voyage
ἐποιούμην. αἰτία δέ μοι τῆς ἀποδημίας καὶ ὑπόθεσις ἡ τῆς
I-made cause and for-me of-the journey and motive the of-the
διανοίας περιεργία καὶ πραγμάτων καινῶν ἐπιθυμία καὶ τὸ
mind curiosity and things new desire-for and the
βούλεσθαι μαθεῖν τί τὸ τέλος ἐστὶν τοῦ ὠκεανοῦ καὶ τίνες
to-wish to-learn what the end is of-the ocean and who
οἱ πέραν κατοικοῦντες ἄνθρωποι. τούτου γέ τοι ἕνεκα
the beyond dwelling men this at-least surely for-the-sake-of
πάμπολλα μὲν σιτία ἐνεβαλόμην, ἱκανὸν δὲ καὶ ὕδωρ
very-many indeed provisions I-put-aboard enough and also water
ἐνεθέμην, πεντήκοντα δὲ τῶν ἡλικιωτῶν προσεποιησάμην
I-put-in fifty and of-the age-mates I-won-over
τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχοντας, ἔτι δὲ καὶ ὅπλων πολύ τι
the same as-me mind having further and also of-arms a-great some
πλῆθος παρεσκευασάμην καὶ κυβερνήτην τὸν ἄριστον μισθῷ
quantity I-provided and a-helmsman the best with-a-wage
μεγάλῳ πείσας παρέλαβον καὶ τὴν ναῦν — ἄκατος
great having-persuaded I-engaged and the ship a-light-boat
δὲ ἦν — ὡς πρὸς μέγαν καὶ βίαιον πλοῦν ἐκρατυνάμην.
and it-was as for a-long and violent voyage I-strengthened

6 ἡμέραν οὖν καὶ νύκτα οὐρίῳ πλέοντες ἔτι τῆς γῆς
a-day then and a-night with-a-fair-wind sailing still the land
ὑποφαινομένης οὐ σφόδρα βιαίως ἀνηγόμεθα, τῆς ἐπιούσης
showing-faintly not very violently we-were-carried-out on-the next-day
δὲ ἅμα ἡλίῳ ἀνίσχοντι ὅ τε ἄνεμος ἐπεδίδου καὶ τὸ
and together-with the-sun rising the both wind increased and the
κῦμα ηὐξάνετο καὶ ζόφος ἐπεγίνετο καὶ οὐκέτ᾽ οὐδὲ στεῖλαι
swell grew and darkness came-on and no-longer even to-furl
τὴν ὀθόνην δυνατὸν ἦν. ἐπιτρέψαντες οὖν τῷ πνέοντι
the sail possible was having-yielded then to-the blowing-wind
καὶ παραδόντες ἑαυτοὺς ἐχειμαζόμεθα ἡμέρας ἐννέα καὶ
and having-given-up ourselves we-were-storm-tossed days nine and
ἑβδομήκοντα, τῇ ὀγδοηκοστῇ δὲ ἄφνω ἐκλάμψαντος
seventy on-the eightieth and suddenly having-shone-out
ἡλίου καθορῶμεν οὐ πόρρω νῆσον ὑψηλὴν καὶ δασεῖαν, οὐ
sun we-see not far an-island high and wooded not
τραχεῖ περιηχουμένην τῷ κύματι· καὶ γὰρ ἤδη τὸ πολὺ
with-rough ringed-with-sound the surf and for now the most
τῆς ζάλης κατεπαύετο. προσσχόντες οὖν καὶ ἀποβάντες ὡς
of-the squall was-subsiding having-put-in then and having-landed as
ἂν ἐκ μακρᾶς ταλαιπωρίας πολὺν μὲν χρόνον ἐπὶ γῆς
— *after long hardship a-long indeed time on land*
ἐκείμεθα, διαναστάντες δὲ ὅμως ἀπεκρίναμεν ἡμῶν αὐτῶν
we-lay having-got-up and nevertheless we-chose of-us ourselves
τριάκοντα μὲν φύλακας τῆς νεὼς παραμένειν, εἴκοσι δὲ
thirty indeed as-guards of-the ship to-remain twenty and
σὺν ἐμοὶ ἀνελθεῖν ἐπὶ κατασκοπῇ τῶν ἐν τῇ νήσῳ.
with me to-go-up for reconnoitering of-the-things on the island
7 προελθόντες δὲ ὅσον σταδίους τρεῖς ἀπὸ τῆς θαλάσσης
having-advanced and about stades three from the sea
δι᾽ ὕλης ὁρῶμέν τινα στήλην χαλκοῦ πεποιημένην,
through wood we-see a pillar of-bronze made

Ἑλληνικοῖς γράμμασιν καταγεγραμμένην, ἀμυδροῖς δὲ
in-Greek letters inscribed faint and
καὶ ἐκτετριμμένοις, λέγουσαν Ἄχρι τούτων Ἡρακλῆς καὶ
and worn-away saying as-far-as this Heracles and
Διόνυσος ἀφίκοντο. ἦν δὲ καὶ ἴχνη δύο πλησίον ἐπὶ
Dionysus came there-were and also footprints two near on
πέτρας, τὸ μὲν πλεθριαῖον, τὸ δὲ ἔλαττον — ἐμοὶ
rock the-one indeed a-plethron-long the-other and smaller to-me
δοκεῖν, τὸ μὲν τοῦ Διονύσου, τὸ μικρότερον, θάτερον δὲ
to-seem the-one indeed — of-Dionysus the smaller the-other and
Ἡρακλέους. προσκυνήσαντες δ' οὖν προῆμεν· οὔπω δὲ πολὺ
of-Heracles having-made-obeisance and then we-went-on not-yet and far
παρῆμεν καὶ ἐφιστάμεθα ποταμῷ οἴνου ῥέοντι ὁμοιότατον
we-had-gone and we-come-upon a-river wine flowing most-like
μάλιστα οἱόσπερ ὁ Χῖός ἐστιν. ἄφθονον δὲ ἦν τὸ ῥεῦμα
especially such-as the Chian is abundant and was the stream
καὶ πολύ, ὥστε ἐνιαχοῦ καὶ ναυσίπορον εἶναι δύνασθαι.
and full so-that in-places even navigable to-be to-be-able
ἐπῆλθεν οὖν ἡμῖν πολὺ μᾶλλον πιστεύειν τῷ ἐπὶ τῆς στήλης
it-occurred then to-us much more to-believe the on the pillar
ἐπιγράμματι, ὁρῶσι τὰ σημεῖα τῆς Διονύσου ἐπιδημίας.
inscription seeing the signs of-the of-Dionysus visit
δόξαν δέ μοι καὶ ὅθεν ἄρχεται ὁ ποταμὸς
it-having-seemed-good and to-me also whence begins the river
καταμαθεῖν, ἀνῆλθον παρὰ τὸ ῥεῦμα, καὶ πηγὴν μὲν οὐδεμίαν
to-learn I-went-up along the stream and spring indeed no
εὗρον αὐτοῦ, πολλὰς δὲ καὶ μεγάλας ἀμπέλους, πλήρεις
found of-it many but and great vines full
βοτρύων, παρὰ δὲ τὴν ῥίζαν ἑκάστην ἀπέρρει σταγὼν οἴνου
of-grapes at and the root each trickled a-drop of-wine
διαυγοῦς, ἀφ' ὧν ἐγίνετο ὁ ποταμός. ἦν δὲ καὶ
clear from which came the river it-was-possible and also

ἰχθῦς ἐν αὐτῷ πολλοὺς ἰδεῖν, οἴνῳ μάλιστα καὶ τὴν χρόαν
fish in it many to-see to-wine most both in-the color
καὶ τὴν γεῦσιν προσεοικότας· ἡμεῖς γοῦν ἀγρεύσαντες
and in-the taste similar we at-any-rate having-caught
αὐτῶν τινας καὶ ἐμφαγόντες ἐμεθύσθημεν· ἀμέλει καὶ
of-them some and having-eaten became-drunk of-course and
ἀνατεμόντες αὐτοὺς εὑρίσκομεν τρυγὸς μεστούς. ὕστερον
having-cut-open them we-find of-lees full later
μέντοι ἐπινοήσαντες τοὺς ἄλλους ἰχθῦς τοὺς ἀπὸ τοῦ ὕδατος
however having-thought-of-it the other fish the from the water
παραμιγνύντες ἐκεράννυμεν τὸ σφοδρὸν τῆς οἰνοφαγίας.
mixing-in we-tempered the strength of-the wine-eating

8 Τότε δὲ τὸν ποταμὸν διαπεράσαντες ᾗ διαβατὸς ἦν,
then and the river having-crossed where fordable it-was
εὕρομεν ἀμπέλων χρῆμα τεράστιον· τὸ μὲν γὰρ ἀπὸ τῆς
we-found of-vines a-thing marvelous the-part indeed for from the
γῆς, ὁ στέλεχος αὐτὸς εὐερνὴς καὶ παχύς, τὸ δὲ ἄνω
ground the trunk itself well-grown and thick the-part and above
γυναῖκες ἦσαν, ὅσον ἐκ τῶν λαγόνων ἅπαντα ἔχουσαι
women were as-much-as from the flanks all having
τέλεια — τοιαύτην παρ' ἡμῖν τὴν Δάφνην γράφουσιν ἄρτι
complete such among us — Daphne they-paint just
τοῦ Ἀπόλλωνος καταλαμβάνοντος ἀποδενδρουμένην. ἀπὸ
— Apollo overtaking turning-into-a-tree from
δὲ τῶν δακτύλων ἄκρων ἐξεφύοντο αὐταῖς οἱ κλάδοι καὶ
and the fingers tips-of grew-out from-them the branches and
μεστοὶ ἦσαν βοτρύων. καὶ μὴν καὶ τὰς κεφαλὰς ἐκόμων
full were of-grapes and indeed also the heads they-had-for-hair
ἕλιξί τε καὶ φύλλοις καὶ βότρυσι. προσελθόντας δὲ ἡμᾶς
tendrils both and leaves and grapes having-come-up and us
ἠσπάζοντό τε καὶ ἐδεξιοῦντο, αἱ μὲν Λύδιον, αἱ δ'
greeted both and welcomed some indeed Lydian others and

Ἰνδικήν, αἱ πλεῖσται δὲ τὴν Ἑλλάδα φωνὴν προϊέμεναι. καὶ
Indian the most and — Greek tongue uttering and
ἐφίλουν δὲ ἡμᾶς τοῖς στόμασιν· ὁ δὲ φιληθεὶς αὐτίκα
kissed and us with-the mouths he and having-been-kissed at-once
ἐμέθυεν καὶ παράφορος ἦν. δρέπεσθαι μέντοι οὐ παρεῖχον
was-drunk and reeling was to-pick however not they-allowed
τοῦ καρποῦ, ἀλλ᾽ ἤλγουν καὶ ἐβόων ἀποσπωμένου. αἱ δὲ
of-the fruit but felt-pain and cried-out being-plucked some and
καὶ μίγνυσθαι ἡμῖν ἐπεθύμουν· καὶ δύο τινὲς τῶν ἑταίρων
even to-have-intercourse with-us desired and two some of-the comrades
πλησιάσαντες αὐταῖς οὐκέτι ἀπελύοντο, ἀλλ᾽ ἐκ τῶν αἰδοίων
having-lain-with them no-longer got-free but by the privates
ἐδέδεντο· συνεφύοντο γὰρ καὶ συνερριζοῦντο. καὶ ἤδη αὐτοῖς
were-held-fast they-grew-together for and took-root-together and already on-them
κλάδοι ἐπεφύκεσαν οἱ δάκτυλοι, καὶ ταῖς ἕλιξι περιπλεκόμενοι
branches had-grown the fingers and in-the tendrils entwined
ὅσον οὐδέπω καὶ αὐτοὶ καρποφορήσειν ἔμελλον.
all-but not-yet also themselves to-bear-fruit were-about
καταλιπόντες δὲ αὐτοὺς ἐπὶ ναῦν ἐφεύγομεν καὶ τοῖς 9
having-left and them to the-ship we-fled and to-those
ἀπολειφθεῖσιν διηγούμεθα ἐλθόντες τά τε ἄλλα καὶ τῶν
left-behind we-told having-come the both other-things and of-the
ἑταίρων τὴν ἀμπελομιξίαν. καὶ δὴ λαβόντες ἀμφορέας
comrades the vine-union and indeed having-taken jars
τινὰς καὶ ὑδρευσάμενοί τε ἅμα καὶ ἐκ τοῦ
some and having-drawn-water both at-the-same-time and from the
ποταμοῦ οἰνισάμενοι καὶ αὐτοῦ πλησίον ἐπὶ τῆς ᾐόνος
river having-drawn-wine and there near on the beach
αὐλισάμενοι ἕωθεν ἀνήχθημεν οὐ σφόδρα βιαίῳ πνεύματι.
having-camped at-dawn we-put-out not very violent with-a-wind

Περὶ μεσημβρίαν δὲ οὐκέτι τῆς νήσου φαινομένης ἄφνω
about midday and no-longer the island appearing suddenly
τυφὼν ἐπιγενόμενος καὶ περιδινήσας τὴν ναῦν καὶ
a-whirlwind having-come-on and having-whirled-around the ship and
μετεωρίσας ὅσον ἐπὶ σταδίους τριακοσίους οὐκέτι καθῆκεν
having-lifted about to stades three-hundred no-longer let-down
εἰς τὸ πέλαγος, ἀλλ᾽ ἄνω μετέωρον ἐξηρτημένην ἄνεμος
into the sea but above aloft suspended a-wind
ἐμπεσὼν τοῖς ἱστίοις ἔφερεν κολπώσας τὴν ὀθόνην.
having-fallen-upon the sails carried having-bellied the canvas

III · THE WAR OF MOON AND SUN

After seven days in the air they land on the Moon and are taken by the Horse-vultures to King Endymion, who is at war with Phaethon, king of the Sun, over a colony on the Morning Star. The armies are fantastic: Vegetable-wings, Flea-archers, Horse-ants, and Stalk-mushrooms. The Moon wins the first engagement, but the late Cloud-centaurs rout it, and Lucian is taken prisoner. The Sun walls off its light until Endymion yields, and a treaty frees the captives. Lucian refuses to stay and marry Endymion's son.

10 ἑπτὰ δὲ ἡμέρας καὶ τὰς ἴσας νύκτας ἀεροδρομήσαντες,
seven and days and the same-number-of nights having-coursed-the-air
ὀγδόῃ καθορῶμεν γῆν τινα μεγάλην ἐν τῷ ἀέρι
on-the-eighth we-see land a great in the air
καθάπερ νῆσον, λαμπρὰν καὶ σφαιροειδῆ καὶ φωτὶ
like an-island shining and spherical and with-light
μεγάλῳ καταλαμπομένην· προσενεχθέντες δὲ αὐτῇ καὶ
great illuminated having-been-brought-near and to-it and
ὁρμισάμενοι ἀπέβημεν, ἐπισκοποῦντες δὲ τὴν χώραν
having-anchored we-landed examining and the country

εὑρίσκομεν οἰκουμένην τε καὶ γεωργουμένην. ἡμέρας μὲν
we-find-it inhabited both and farmed by-day indeed
οὖν οὐδὲν αὐτόθεν καθεωρῶμεν, νυκτὸς δὲ ἐπιγενομένης
then nothing from-there we-made-out night but having-come-on
ἐφαίνοντο ἡμῖν καὶ ἄλλαι πολλαὶ νῆσοι πλησίον, αἱ μὲν
appeared to-us also other many islands near some indeed
μείζους, αἱ δὲ μικρότεραι, πυρὶ τὴν χροιὰν προσεοικυῖαι,
larger others and smaller to-fire in-the color like
καὶ ἄλλη δέ τις γῆ κάτω, καὶ πόλεις ἐν αὐτῇ καὶ
and another and a land below both cities in it and
ποταμοὺς ἔχουσα καὶ πελάγη καὶ ὕλας καὶ ὄρη. ταύτην
rivers having and seas and forests and mountains this
οὖν τὴν καθ' ἡμᾶς οἰκουμένην εἰκάζομεν.
then the-land of us inhabited we-supposed-to-be
Δόξαν δὲ ἡμῖν καὶ ἔτι πορρωτέρω προελθεῖν, 11
it-having-seemed-good and to-us also still farther to-go-on
συνελήφθημεν τοῖς Ἱππογύποις παρ' αὐτοῖς καλουμένοις
we-were-seized the Horse-vultures among them so-called
ἀπαντήσαντες. οἱ δὲ Ἱππόγυποι οὗτοί εἰσιν ἄνδρες ἐπὶ
having-met the and Horse-vultures these are men on
γυπῶν μεγάλων ὀχούμενοι καὶ καθάπερ ἵπποις τοῖς ὀρνέοις
vultures great riding and as horses the birds
χρώμενοι· μεγάλοι γὰρ οἱ γῦπες καὶ ὡς ἐπίπαν τρικέφαλοι.
using great for the vultures and as a-rule three-headed
μάθοι δ' ἄν τις τὸ μέγεθος αὐτῶν ἐντεῦθεν· νεὼς γὰρ
might-learn and — one the size of-them from-this of-a-ship for
μεγάλης φορτίδος ἱστοῦ ἕκαστον τῶν πτερῶν μακρότερον
great merchant than-the-mast each of-the feathers longer
καὶ παχύτερον φέρουσι. τούτοις οὖν τοῖς Ἱππογύποις
and thicker they-bear on-these then the Horse-vultures
προστέτακται περιπετομένοις τὴν γῆν, εἴ τις εὑρεθείη ξένος,
it-is-enjoined flying-around the land if any should-be-found stranger

ἀνάγειν ὡς τὸν βασιλέα· καὶ δὴ καὶ ἡμᾶς συλλαβόντες
to-bring-up to the king and indeed also us having-seized
ἀνάγουσιν ὡς αὐτόν. ὁ δὲ θεασάμενος καὶ ἀπὸ τῆς στολῆς
they-bring-up to him he and having-looked and from the dress
εἰκάσας, Ἕλληνες ἆρα, ἔφη, ὑμεῖς, ὦ ξένοι; συμφησάντων
having-guessed Greeks then he-said you O strangers us-assenting
δέ, Πῶς οὖν ἀφίκεσθε, ἔφη, τοσοῦτον ἀέρα διελθόντες; καὶ
and how then did-you-come he-said so-much air having-crossed and
ἡμεῖς τὸ πᾶν αὐτῷ διηγούμεθα· καὶ ὃς ἀρξάμενος τὸ καθ᾽
we the whole to-him related and he having-begun the concerning
αὑτὸν ἡμῖν διεξήει, ὡς καὶ αὐτὸς ἄνθρωπος ὢν τοὔνομα
himself to-us related how also himself a-man being by-name
Ἐνδυμίων ἀπὸ τῆς ἡμετέρας γῆς καθεύδων ἀναρπασθείη
Endymion from the our earth sleeping was-snatched-up
ποτε καὶ ἀφικόμενος βασιλεύσειε τῆς χώρας· εἶναι δὲ τὴν
once and having-arrived became-king of-the country to-be and the
γῆν ἐκείνην ἔλεγε τὴν ἡμῖν κάτω φαινομένην σελήνην.
land that he-said the to-us below appearing moon
ἀλλὰ θαρρεῖν τε παρεκελεύετο καὶ μηδένα κίνδυνον
but to-take-heart both he-urged and no danger
ὑφορᾶσθαι· πάντα γὰρ ἡμῖν παρέσεσθαι ὧν δεόμεθα.
to-suspect all-things for for-us to-be-going-to-be-there which we-need
12 ἢν δὲ καὶ κατορθώσω, ἔφη, τὸν πόλεμον ὃν ἐκφέρω νῦν
if and also I-succeed-in he-said the war which I-am-waging now
πρὸς τοὺς τὸν ἥλιον κατοικοῦντας, ἁπάντων εὐδαιμονέστατα
against those the sun inhabiting of-all most-happily
παρ᾽ ἐμοὶ καταβιώσεσθε. καὶ ἡμεῖς ἠρόμεθα τίνες εἶεν οἱ
with me you-will-live-out-your-lives and we asked who were the
πολέμιοι καὶ τὴν αἰτίαν τῆς διαφορᾶς· Ὁ δὲ Φαέθων, φησίν,
enemies and the cause of-the quarrel — and Phaethon he-says
ὁ τῶν ἐν τῷ ἡλίῳ κατοικούντων βασιλεύς — οἰκεῖται γὰρ
the of-those in the sun dwelling king is-inhabited for

δὴ κἀκεῖνος ὥσπερ καὶ ἡ σελήνη — πολὺν ἤδη πρὸς ἡμᾶς
indeed that-too as also the moon long now against us
πολεμεῖ χρόνον. ἤρξατο δὲ ἐξ αἰτίας τοιαύτης. τῶν ἐν τῇ
wars time it-began and from cause such-a of-those in the
ἀρχῇ τῇ ἐμῇ ποτε τοὺς ἀπορωτάτους συναγαγὼν ἐβουλήθην
realm the my once the poorest having-gathered I-wished
ἀποικίαν ἐς τὸν Ἑωσφόρον στεῖλαι, ὄντα ἔρημον καὶ
a-colony to the Morning-Star to-send being empty and
ὑπὸ μηδενὸς κατοικούμενον· ὁ τοίνυν Φαέθων φθονήσας
by no-one inhabited — then Phaethon having-been-jealous
ἐκώλυσε τὴν ἀποικίαν κατὰ μέσον τὸν πόρον ἀπαντήσας
prevented the colony in the-middle of-the passage having-met-us
ἐπὶ τῶν Ἱππομυρμήκων. τότε μὲν οὖν νικηθέντες — οὐ
on the Horse-ants then indeed then having-been-defeated not
γὰρ ἦμεν ἀντίπαλοι τῇ παρασκευῇ — ἀνεχωρήσαμεν· νῦν
for we-were a-match in-the armament we-withdrew now
δὲ βούλομαι αὖθις ἐξενεγκεῖν τὸν πόλεμον καὶ ἀποστεῖλαι
and I-wish again to-wage the war and to-send-out
τὴν ἀποικίαν. ἢν οὖν ἐθέλητε, κοινωνήσατέ μοι τοῦ
the colony if then you-are-willing share with-me in-the
στόλου, γῦπας δὲ ὑμῖν ἐγὼ παρέξω τῶν βασιλικῶν ἕνα
expedition vultures and to-you I will-provide of-the royal-ones one
ἑκάστῳ καὶ τὴν ἄλλην ὅπλισιν· αὔριον δὲ ποιησόμεθα τὴν
for-each and the other equipment tomorrow and we-will-make the
ἔξοδον. οὕτως, ἔφην ἐγώ, γιγνέσθω, ἐπειδή σοι δοκεῖ.
sortie so I-said I let-it-be since to-you it-seems-good
Τότε μὲν οὖν παρ' αὐτῷ ἑστιαθέντες ἐμείναμεν, ἕωθεν δὲ 13
then indeed then with him having-been-feasted we-stayed at-dawn and
διαναστάντες ἐτασσόμεθα· καὶ γὰρ οἱ σκοποὶ ἐσήμαινον
having-got-up we-took-our-posts and for the scouts signaled
πλησίον εἶναι τοὺς πολεμίους. τὸ μὲν οὖν πλῆθος τῆς
near to-be the enemies the indeed then number of-the

στρατιᾶς δέκα μυριάδες ἐγένοντο ἄνευ τῶν σκευοφόρων καὶ
army ten myriads came-to without the baggage-carriers and
τῶν μηχανοποιῶν καὶ τῶν πεζῶν καὶ τῶν ξένων συμμάχων·
the engineers and the infantry and the foreign allies
τούτων δὲ ὀκτακισμύριοι μὲν ἦσαν οἱ Ἱππόγυποι, δισμύριοι
of-these and eighty-thousand indeed were the Horse-vultures twenty-thousand
δὲ οἱ ἐπὶ τῶν Λαχανοπτέρων. ὄρνεον δὲ καὶ τοῦτό
and the-ones on the Vegetable-wings a-bird and also this
ἐστι μέγιστον, ἀντὶ τῶν πτερῶν λαχάνοις πάντῃ
is very-large instead-of the feathers with-vegetables all-over
λάσιον, τὰ δὲ ὠκύπτερα ἔχει θριδακίνης φύλλοις μάλιστα
shaggy the and wing-feathers it-has of-lettuce to-leaves most
προσεοικότα. ἐπὶ δὲ τούτοις οἱ Κεγχροβόλοι ἐτετάχατο
like next-to and these the Millet-throwers had-been-posted
καὶ οἱ Σκοροδομάχοι. ἦλθον δὲ αὐτῷ καὶ ἀπὸ τῆς ἄρκτου
and the Garlic-fighters came and to-him also from the bear
σύμμαχοι, τρισμύριοι μὲν Ψυλλοτοξόται, πεντακισμύριοι δὲ
allies thirty-thousand indeed Flea-archers fifty-thousand and
Ἀνεμοδρόμοι· τούτων δὲ οἱ μὲν Ψυλλοτοξόται ἐπὶ ψυλλῶν
Wind-runners of-these and the indeed Flea-archers on fleas
μεγάλων ἱππάζονται, ὅθεν καὶ τὴν προσηγορίαν ἔχουσιν·
great ride whence also the name they-have
μέγεθος δὲ τῶν ψυλλῶν ὅσον δώδεκα ἐλέφαντες· οἱ
to-the among us people but later also these with the
ἄλλων ἀπωλέσαμεν. ἦν δὲ ἡ ἀρχὴ τοῦ ποιήματος αὕτη,
others we-lost was and the beginning of-the poem this

Νῦν δέ μοι ἔννεπε, Μοῦσα, μάχην νεκύων ἡρώων,
now and to-me tell Muse battle of-dead heroes

τότε δ᾽ οὖν κυάμους ἑψήσαντες, ὥσπερ παρ᾽ αὐτοῖς νόμος
then and then beans having-boiled as among them custom-is
ἐπειδὰν τὸν πόλεμον κατορθώσωσιν, εἱστιῶντο τὰ ἐπινίκια
when the war they-win they-feasted the victory-feast
καὶ ἑορτὴν μεγάλην ἦγον· μόνος δὲ αὐτῆς οὐ μετεῖχε
and a-festival great held alone but in-it not shared
Πυθαγόρας, ἀλλ᾽ ἄσιτος πόρρω ἐκαθέζετο μυσαττόμενος
Pythagoras but fasting far-off sat loathing
τὴν κυαμοφαγίαν.
the bean-eating
25 Ἤδη δὲ μηνῶν ἓξ διεληλυθότων περὶ μεσοῦντα τὸν ἕβδομον
now and months six having-passed about the-middle-of the seventh
νεώτερα συνίστατο πράγματα· Κινύρας ὁ τοῦ Σκινθάρου
newer arose matters Cinyras the — of-Scintharus

παῖς, μέγας ὢν καὶ καλός, ἤρα πολὺν ἤδη χρόνον τῆς
son tall being and handsome loved long already time —
Ἑλένης, καὶ αὕτη δὲ οὐκ ἀφανὴς ἦν ἐπιμανῶς ἀγαπῶσα
Helen and she and not unseen was madly loving
τὸν νεανίσκον· πολλάκις γοῦν καὶ διένευον ἀλλήλοις
the young-man often at-any-rate both they-nodded to-one-another
ἐν τῷ συμποσίῳ καὶ προὔπινον καὶ μόνοι ἐξανιστάμενοι
at the banquet and pledged and alone getting-up
ἐπλανῶντο περὶ τὴν ὕλην. καὶ δή ποτε ὑπ᾽ ἔρωτος καὶ
wandered about the wood and indeed once from love and
ἀμηχανίας ἐβουλεύσατο ὁ Κινύρας ἁρπάσας τὴν Ἑλένην
helplessness planned — Cinyras having-carried-off — Helen
— ἐδόκει δὲ κἀκείνῃ ταῦτα — οἴχεσθαι ἀπιόντας ἔς
it-seemed-good and to-her-too these-things to-be-gone departing to
τινα τῶν ἐπικειμένων νήσων, ἤτοι ἐς τὴν Φελλὼ ἢ ἐς τὴν
one of-the nearby islands either to — Cork or to —
Τυρόεσσαν. συνωμότας δὲ πάλαι προσειλήφεσαν τρεῖς τῶν
Cheese-island confederates and long-before they-had-taken-on three of-the
ἑταίρων τῶν ἐμῶν τοὺς θρασυτάτους. τῷ μέντοι πατρὶ οὐκ
comrades the my the boldest to-the however father not
ἐμήνυσε ταῦτα· ἠπίστατο γὰρ ὑπ᾽ αὐτοῦ κωλυθησόμενος.
he-disclosed these-things he-knew for by him going-to-be-prevented
ὡς δὲ ἐδόκει αὐτοῖς, ἐτέλουν τὴν ἐπιβουλήν. καὶ
when and it-seemed-good to-them they-carried-out the plot and
ἐπειδὴ νὺξ ἐγένετο — ἐγὼ μὲν οὐ παρῆν· ἐτύγχανον γὰρ
when night came I indeed not was-present I-happened for
ἐν τῷ συμποσίῳ κοιμώμενος — οἱ δὲ λαθόντες τοὺς
at the banquet sleeping they and unnoticed-by the
ἄλλους ἀναλαβόντες τὴν Ἑλένην ὑπὸ σπουδῆς ἀνήχθησαν.
others having-taken-up — Helen in haste put-out-to-sea

26 περὶ δὲ τὸ μεσονύκτιον ἀνεγρόμενος ὁ Μενέλαος ἐπεὶ
about and the midnight having-awakened — Menelaus when
ἔμαθεν τὴν εὐνὴν κενὴν τῆς γυναικός, βοήν τε ἴστη καὶ
he-learned the bed empty of-his wife a-cry both raised and
τὸν ἀδελφὸν παραλαβὼν ἦλθε πρὸς τὸν βασιλέα τὸν
the brother having-taken went to the king —
Ῥαδάμανθυν. ἡμέρας δὲ ὑποφαινούσης ἔλεγον οἱ σκοποὶ
Rhadamanthys day and dawning said the lookouts
καθορᾶν τὴν ναῦν πολὺ ἀπέχουσαν· οὕτω δὴ ἐμβιβάσας
to-see the ship far off then indeed having-embarked
ὁ Ῥαδάμανθυς πεντήκοντα τῶν ἡρώων εἰς ναῦν μονόξυλον
— Rhadamanthys fifty of-the heroes into a-ship single-trunk
ἀσφοδελίνην παρήγγειλεν διώκειν· οἱ δὲ ὑπὸ προθυμίας
of-asphodel ordered to-pursue they and from zeal
ἐλαύνοντες περὶ μεσημβρίαν καταλαμβάνουσιν αὐτοὺς
rowing about midday overtake them
ἄρτι ἐς τὸν γαλακτώδη τοῦ ὠκεανοῦ τόπον ἐμβαίνοντας
just into the milky of-the ocean part entering
πλησίον τῆς Τυροέσσης· παρὰ τοσοῦτον ἦλθον διαδρᾶναι·
near — Cheese-island by so-little they-came to-escape
καὶ ἀναδησάμενοι τὴν ναῦν ἁλύσει ῥοδίνῃ κατέπλεον. ἡ
and having-fastened the ship with-a-chain of-roses sailed-back —
μὲν οὖν Ἑλένη ἐδάκρυέν τε καὶ ᾐσχύνετο κἀνεκαλύπτετο,
indeed then Helen wept both and was-ashamed and-veiled-herself
τοὺς δὲ ἀμφὶ τὸν Κινύραν ἀνακρίνας πρότερον ὁ
those and around — Cinyras having-questioned first —
Ῥαδάμανθυς, εἴ τινες καὶ ἄλλοι αὐτοῖς συνίσασιν, ὡς
Rhadamanthys whether any also others with-them were-in-the-secret when
οὐδένα εἶπον, ἐκ τῶν αἰδοίων δήσας ἀπέπεμψεν ἐς τὸν
no-one they-said by the privates having-bound sent-off to the
τῶν ἀσεβῶν χῶρον μαλάχῃ πρότερον μαστιγωθέντας.
of-the impious place with-mallow first flogged

ἐψηφίσαντο δὲ καὶ ἡμᾶς ἐμπροθέσμως ἐκπέμπειν ἐκ τῆς 27
they-voted and also us before-the-term to-send-out from the
νήσου, τὴν ἐπιοῦσαν ἡμέραν μόνην ἐπιμείναντας.
island the next day only having-stayed
Ἐνταῦθα δὴ ἐγὼ ἐποτνιώμην τε καὶ ἐδάκρυον οἷα ἔμελλον
thereupon indeed I lamented both and wept what I-was-about
ἀγαθὰ καταλιπὼν αὖθις πλανηθήσεσθαι. αὐτοὶ μέντοι
good-things having-left again to-wander they however
παρεμυθοῦντο λέγοντες οὐ πολλῶν ἐτῶν ἀφίξεσθαι πάλιν
consoled-me saying not many years to-be-going-to-come back
ὡς αὐτούς, καί μοι ἤδη εἰς τοὐπιὸν θρόνον τε καὶ κλισίαν
to them and to-me already for the-future a-throne both and couch
ἐπεδείκνυσαν πλησίον τῶν ἀρίστων. ἐγὼ δὲ προσελθὼν τῷ
they-showed near the best I and having-approached —
Ῥαδαμάνθυι πολλὰ ἱκέτευον εἰπεῖν τὰ μέλλοντα καὶ ὑποδεῖξαί
Rhadamanthys much begged to-tell the future-things and to-show
μοι τὸν πλοῦν. ὁ δὲ ἔφασκεν ἀφίξεσθαι μὲν εἰς τὴν
me the voyage he and said to-be-going-to-arrive indeed at the
πατρίδα πολλὰ πρότερον πλανηθέντα καὶ κινδυνεύσαντα,
fatherland much first having-wandered and having-run-risks
τὸν δὲ χρόνον οὐκέτι τῆς ἐπανόδου προσθεῖναι ἠθέλησεν·
the but time no-longer of-the return to-add he-was-willing
ἀλλὰ δὴ καὶ δεικνὺς τὰς πλησίον νήσους — ἐφαίνοντο δὲ
but indeed also showing the nearby islands appeared and
πέντε τὸν ἀριθμόν, ἄλλη δὲ ἕκτη πόρρωθεν — ταύτας μὲν
five in-the number another and sixth far-off these indeed
εἶναι ἔφασκεν τῶν ἀσεβῶν, τὰς πλησίον, Ἀφ' ὧν, ἔφη, ἤδη
to-be he-said of-the impious the near from which he-said already
τὸ πολὺ πῦρ ὁρᾷς καιόμενον, ἕκτη δὲ ἐκείνη τῶν ὀνείρων
the much fire you-see burning sixth and that of-the dreams
ἡ πόλις· μετὰ ταύτην δὲ ἡ τῆς Καλυψοῦς νῆσος, ἀλλ'
the city after this and the — of-Calypso island but

οὐδέπω σοι φαίνεται. ἐπειδὰν δὲ ταύτας παραπλεύσῃς, τότε
not-yet to-you it-appears when and these you-sail-past then
δὴ ἀφίξῃ εἰς τὴν μεγάλην ἤπειρον τὴν ἐναντίαν τῇ
indeed you-will-come to the great continent the opposite to-the-one
ὑφ' ὑμῶν κατοικουμένῃ· ἐνταῦθα δὴ πολλὰ παθὼν
by you inhabited there indeed much having-suffered
καὶ ποικίλα ἔθνη διελθὼν καὶ ἀνθρώποις ἀμίκτοις
and various peoples having-passed-through and men unsociable
ἐπιδημήσας χρόνῳ ποτε ἥξεις εἰς τὴν ἑτέραν ἤπειρον.
having-visited in-time at-length you-will-come to the other continent
28 Τοσαῦτα εἶπεν, καὶ ἀνασπάσας ἀπὸ τῆς γῆς μαλάχης ῥίζαν
so-much he-said and having-pulled-up from the ground of-mallow a-root
ὥρεξέν μοι, ταύτῃ κελεύσας ἐν τοῖς μεγίστοις κινδύνοις
handed me to-this having-bidden in the greatest dangers
προσεύχεσθαι· παρήνεσε δὲ εἰ καί ποτε ἀφικοίμην ἐς τήνδε
to-pray advised and if even ever I-should-come to this
τὴν γῆν, μήτε πῦρ μαχαίρᾳ σκαλεύειν μήτε θέρμους ἐσθίειν
the land neither fire with-a-knife to-poke nor lupines to-eat
μήτε παιδὶ ὑπὲρ τὰ ὀκτωκαίδεκα ἔτη πλησιάζειν· τούτων
nor a-boy over the eighteen years to-approach these-things
γὰρ ἂν μεμνημένον ἐλπίδας ἔχειν τῆς εἰς τὴν νῆσον ἀφίξεως.
for — remembering hopes to-have of-the to the island arrival
Τότε μὲν οὖν τὰ περὶ τὸν πλοῦν παρεσκευασάμην,
then indeed then the-things for the voyage I-prepared
καὶ ἐπεὶ καιρὸς ἦν, συνειστιώμην αὐτοῖς. τῇ δὲ ἐπιούσῃ
and when time it-was I-feasted-with them on-the and next-day
ἐλθὼν πρὸς Ὅμηρον τὸν ποιητὴν ἐδεήθην αὐτοῦ ποιῆσαί
having-gone to Homer the poet I-asked him to-make
μοι δίστιχον ἐπίγραμμα· καὶ ἐπειδὴ ἐποίησεν, στήλην
for-me a-two-line inscription and when he-made-it a-pillar

βηρύλλου λίθου ἀναστήσας ἐπέγραψα πρὸς τῷ λιμένι. τὸ
of-beryl stone having-set-up I-inscribed by the harbor the
δὲ ἐπίγραμμα ἦν τοιόνδε·
and inscription was this

Λουκιανὸς τάδε πάντα φίλος μακάρεσσι θεοῖσιν
Lucian these-things all dear to-the-blessed gods
εἶδέ τε καὶ πάλιν ἦλθε φίλην ἐς πατρίδα γαῖαν.
saw both and back came dear to native land

μείνας δὲ κἀκείνην τὴν ἡμέραν, τῇ ἐπιούσῃ ἀνηγόμην 29
having-stayed and that-too the day on-the next I-put-out
τῶν ἡρώων παραπεμπόντων. ἔνθα μοι καὶ Ὀδυσσεὺς
the heroes escorting there to-me also Odysseus
προσελθὼν λάθρᾳ τῆς Πηνελόπης δίδωσιν ἐπιστολὴν
having-come-up unknown-to — Penelope gives a-letter
εἰς Ὠγυγίαν τὴν νῆσον Καλυψοῖ κομίζειν. συνέπεμψε δέ
to Ogygia the island to-Calypso to-carry sent-along and
μοι ὁ Ῥαδάμανθυς τὸν πορθμέα Ναύπλιον, ἵν' ἐὰν
with-me — Rhadamanthys the ferryman Nauplius so-that if
καταχθῶμεν ἐς τὰς νήσους, μηδεὶς ἡμᾶς συλλάβῃ ἅτε
we-put-in at the islands no-one us may-seize as
κατ' ἄλλην ἐμπορίαν καταπλέοντας.
on other business putting-in
Ἐπεὶ δὲ τὸν εὐώδη ἀέρα προϊόντες παρεληλύθειμεν,
when and the fragrant air going-on we-had-passed
αὐτίκα ἡμᾶς ὀσμή τε δεινὴ διεδέχετο οἷον ἀσφάλτου
at-once us a-smell both terrible succeeded as-of asphalt
καὶ θείου καὶ πίττης ἅμα καιομένων, καὶ κνῖσα δὲ
and sulfur and pitch at-the-same-time burning and a-reek and
πονηρὰ καὶ ἀφόρητος ὥσπερ ἀπὸ ἀνθρώπων ὀπτωμένων,
foul and unbearable as from men roasting

καὶ ὁ ἀὴρ ζοφερὸς καὶ ὁμιχλώδης, καὶ κατέσταζεν ἐξ
and the air gloomy and misty and dripped from
αὐτοῦ δρόσος πιττίνη· ἠκούομεν δὲ καὶ μαστίγων ψόφον
it a-dew of-pitch we-heard and also of-whips the-sound
καὶ οἰμωγὴν ἀνθρώπων πολλῶν.
and wailing of-men many

IV · THE ISLES OF THE WICKED AND OF DREAMS

On the Isle of the Wicked, among rivers of mud, blood, and fire, Lucian sees kings and liars in torment, Ctesias and Herodotus among them, and takes heart, since he has told no lies. Next comes the shifting Island of Dreams, with its four gates, its temples of Night and the Cock, and its dreams of every shape, who entertain the travelers for thirty days. On Ogygia Lucian opens Odysseus's letter, in which he regrets leaving Calypso and promises to come back.

30 ταῖς μὲν οὖν ἄλλαις οὐ προσέσχομεν, ἧς δὲ ἐπέβημεν,
the indeed then others not we-put-in-at that-which and we-landed-on
τοιάδε ἦν· κύκλῳ μὲν πᾶσα κρημνώδης καὶ ἀπόξυρος,
such was around indeed all precipitous and sheer
πέτραις καὶ τράχωσι κατεσκληκυῖα, δένδρον δ' οὐδὲν οὐδὲ
with-rocks and rough-places parched tree and no nor
ὕδωρ ἐνῆν· ἀνερπύσαντες δὲ ὅμως κατὰ τοὺς κρημνοὺς
water was-in-it having-crawled-up and nevertheless along the cliffs
προῇμεν διά τινος ἀκανθώδους καὶ σκολόπων μεστῆς
we-went-on by a thorny and of-stakes full
ἀτραποῦ, πολλὴν ἀμορφίαν τῆς χώρας ἐχούσης. ἐλθόντες δὲ
path much ugliness the country having having-come and
ἐπὶ τὴν εἱρκτὴν καὶ τὸ κολαστήριον, πρῶτα μὲν τὴν φύσιν
to the prison and the place-of-punishment first indeed the nature
τοῦ τόπου ἐθαυμάζομεν· τὸ μὲν γὰρ ἔδαφος αὐτὸ μαχαίραις
of-the place we-marveled-at the indeed for ground itself with-knives

καὶ σκόλοψι πάντῃ ἐξηνθήκει, κύκλῳ δὲ ποταμοὶ περιέρρεον,
and stakes everywhere had-blossomed around and rivers flowed
ὁ μὲν βορβόρου, ὁ δὲ δεύτερος αἵματος, ὁ δὲ ἔνδον
the-one indeed of-mud the and second of-blood the and inner
πυρός, πάνυ μέγας οὗτος καὶ ἀπέρατος, καὶ ἔρρει ὥσπερ
of-fire very great this and impassable and it-flowed like
ὕδωρ καὶ ἐκυματοῦτο ὥσπερ θάλαττα, καὶ ἰχθῦς δὲ εἶχεν
water and surged like the-sea and fish and it-had
πολλούς, τοὺς μὲν δαλοῖς προσεοικότας, τοὺς δὲ μικροὺς
many some indeed to-brands like others and small
ἄνθραξι πεπυρωμένοις· ἐκάλουν δὲ αὐτοὺς λυχνίσκους.
to-coals glowing they-called and them lamp-fish
εἴσοδος δὲ μία στενὴ διὰ πάντων ἦν, καὶ πυλωρὸς 31
entrance and one narrow through all was and as-gatekeeper
ἐφειστήκει Τίμων ὁ Ἀθηναῖος. παρελθόντες δὲ ὅμως τοῦ
stood Timon the Athenian having-gone-in and nevertheless —
Ναυπλίου καθηγουμένου ἑωρῶμεν κολαζομένους πολλοὺς
Nauplius leading we-saw being-punished many
μὲν βασιλέας, πολλοὺς δὲ καὶ ἰδιώτας, ὧν ἐνίους
indeed kings many and also private-men of-whom some
καὶ ἐγνωρίζομεν· εἴδομεν δὲ καὶ τὸν Κινύραν καπνῷ
even we-recognized we-saw and also — Cinyras with-smoke
ὑποτυφόμενον· ἐκ τῶν αἰδοίων ἀπηρτημένον. προσετίθεσαν
being-smoked by the privates hung-up added
δὲ οἱ περιηγηταὶ καὶ τοὺς ἑκάστων βίους καὶ τὰς
and the guides also the of-each lives and the
ἁμαρτίας ἐφ' αἷς κολάζονται· καὶ μεγίστας ἁπασῶν
faults for which they-are-punished and greatest of-all
τιμωρίας ὑπέμενον οἱ ψευσάμενοί τι παρὰ τὸν βίον καὶ
punishments endured those having-lied at-all during the life and
οἱ μὴ τὰ ἀληθῆ συγγεγραφότες, ἐν οἷς καὶ Κτησίας
those not the truth having-written among whom also Ctesias

ὁ Κνίδιος ἦν καὶ Ἡρόδοτος καὶ ἄλλοι πολλοί. τούτους
the Cnidian was and Herodotus and others many these
οὖν ὁρῶν ἐγὼ χρηστὰς εἶχον εἰς τοὐπιὸν τὰς ἐλπίδας·
then seeing I good I-had for the-future the hopes
οὐδὲν γὰρ ἐμαυτῷ ψεῦδος εἰπόντι συνηπιστάμην.
nothing for with-myself false having-said I-was-conscious
32 ταχέως οὖν ἀναστρέψας ἐπὶ τὴν ναῦν — οὐ γὰρ
quickly then having-turned-back to the ship not for
ἐδυνάμην φέρειν τὴν ὄψιν — ἀσπασάμενος τὸν Ναύπλιον
I-could to-bear the sight having-taken-leave-of — Nauplius
ἀπέπλευσα.
I-sailed-off
Καὶ μετ᾽ ὀλίγον ἐφαίνετο πλησίον ἡ τῶν ὀνείρων νῆσος,
and after a-little appeared near the of-the dreams island
ἀμυδρὰ καὶ ἀσαφὴς ἰδεῖν· εἶχε δὲ καὶ αὐτή τι τοῖς
dim and indistinct to-see had and also itself something to-the
ὀνείροις παραπλήσιον· ὑπεχώρει γὰρ προσιόντων ἡμῶν
dreams like it-retreated for approaching we
καὶ ὑπέφευγε καὶ πορρωτέρω ὑπέβαινε. καταλαβόντες δέ
and fled and farther withdrew having-overtaken and
ποτε αὐτὴν καὶ εἰσπλεύσαντες εἰς τὸν Ὕπνον λιμένα
at-length it and having-sailed into the Sleep harbor
προσαγορευόμενον πλησίον τῶν πυλῶν τῶν ἐλεφαντίνων,
called near the gates the ivory
ᾗ τὸ τοῦ Ἀλεκτρυόνος ἱερόν ἐστιν, περὶ δείλην ὀψίαν
where the of-the Cock temple is about evening late
ἀπεβαίνομεν· παρελθόντες δὲ ἐς τὴν πόλιν πολλοὺς
we-landed having-gone and into the city many
ὀνείρους καὶ ποικίλους ἑωρῶμεν. πρῶτον δὲ βούλομαι
dreams and various we-saw first and I-wish
περὶ τῆς πόλεως εἰπεῖν, ἐπεὶ μηδὲ ἄλλῳ τινὶ γέγραπται
about the city to-tell since not-even by-another any has-been-written

περὶ αὐτῆς, ὃς δὲ καὶ μόνος ἐπεμνήσθη Ὅμηρος, οὐ
about it who and also alone mentioned-it Homer not
πάνυ ἀκριβῶς συνέγραψεν.
very exactly described-it
κύκλῳ μὲν περὶ πᾶσαν αὐτὴν ὕλη ἀνέστηκεν, τὰ δένδρα 33
around indeed about all it a-wood stands the trees
δέ ἐστι μήκωνες ὑψηλαὶ καὶ μανδραγόραι καὶ ἐπ᾽ αὐτῶν
and are poppies tall and mandrakes and on them
πολύ τι πλῆθος νυκτερίδων· τοῦτο γὰρ μόνον ἐν τῇ νήσῳ
great a multitude of-bats this for only on the island
γίνεται ὄρνεον. ποταμὸς δὲ παραρρεῖ πλησίον ὁ ὑπ᾽
is-found bird a-river and flows-by near the-one by
αὐτῶν καλούμενος Νυκτίπορος, καὶ πηγαὶ δύο παρὰ τὰς
them called Night-farer and springs two by the
πύλας· ὀνόματα καὶ ταύταις, τῇ μὲν Νήγρετος, τῇ
gates names also for-these for-the-one indeed Wakeless for-the-other
δὲ Παννυχία. ὁ περίβολος δὲ τῆς πόλεως ὑψηλός τε καὶ
and All-night the circuit-wall and of-the city high both and
ποικίλος, ἴριδι τὴν χρόαν ὁμοιότατος· πύλαι μέντοι
many-colored to-a-rainbow in-the color most-like gates however
ἔπεισιν οὐ δύο, καθάπερ Ὅμηρος εἴρηκεν, ἀλλὰ τέσσαρες,
are-on-it not two as Homer has-said but four
δύο μὲν πρὸς τὸ τῆς Βλακείας πεδίον ἀποβλέπουσαι, ἡ
two indeed toward the — of-Sloth plain looking the-one
μὲν σιδηρᾶ, ἡ δὲ ἐκ κεράμου πεποιημένη, καθ᾽ ἃς
indeed iron the-other and of earthenware made through which
ἐλέγοντο ἀποδημεῖν αὐτῶν οἵ τε φοβεροὶ καὶ φονικοὶ καὶ
were-said to-go-forth of-them the both fearsome and murderous and
ἀπηνεῖς, δύο δὲ πρὸς τὸν λιμένα καὶ τὴν θάλατταν, ἡ μὲν
cruel two and toward the harbor and the sea the-one indeed
κερατίνη, ἡ δὲ καθ᾽ ἣν ἡμεῖς παρήλθομεν ἐλεφαντίνη.
of-horn the-other and through which we came-in of-ivory

εἰσιόντι δὲ εἰς τὴν πόλιν ἐν δεξιᾷ μέν ἐστι τὸ Νυκτῷον
for-one-entering and into the city on the-right indeed is the temple-of-Night
— σέβουσι γὰρ θεῶν ταύτην μάλιστα καὶ τὸν Ἀλεκτρυόνα·
they-worship for of-gods her most and the Cock
ἐκείνῳ δὲ πλησίον τοῦ λιμένος τὸ ἱερὸν πεποίηται — ἐν
for-him and near the harbor the temple has-been-made on
ἀριστερᾷ δὲ τὰ τοῦ Ὕπνου βασίλεια. οὗτος γὰρ δὴ ἄρχει
the-left and the — of-Sleep palace he for indeed rules
παρ᾽ αὐτοῖς σατράπας δύο καὶ ὑπάρχους πεποιημένος,
among them satraps two and lieutenants having-made
Ταραξίωνά τε τὸν Ματαιογένους καὶ Πλουτοκλέα τὸν
Taraxion both the-son-of Mataeogenes and Plutocles the-son-of
Φαντασίωνος. ἐν μέσῃ δὲ τῇ ἀγορᾷ πηγή τίς ἐστιν,
Phantasion in the-middle and of-the market spring a is
ἣν καλοῦσι Καρεῶτιν· καὶ πλησίον ναοὶ δύο, Ἀπάτης καὶ
which they-call Careotis and near temples two of-Deceit and
Ἀληθείας· ἔνθα καὶ τὸ ἄδυτόν ἐστιν αὐτοῖς καὶ τὸ μαντεῖον,
of-Truth where also the shrine is for-them and the oracle
οὗ προειστήκει προφητεύων Ἀντιφῶν ὁ τῶν ὀνείρων
over-which presided prophesying Antiphon the of-the dreams
ὑποκριτής, ταύτης παρὰ τοῦ Ὕπνου λαχὼν τῆς τιμῆς.
interpreter this from — Sleep having-obtained the office
34 αὐτῶν μέντοι τῶν ὀνείρων οὔτε φύσις οὔτε ἰδέα ἡ
of-the-very however the dreams neither nature nor look the
αὐτή, ἀλλ᾽ οἱ μὲν μακροὶ ἦσαν καὶ καλοὶ καὶ εὐειδεῖς,
same but some indeed tall were and handsome and comely
οἱ δὲ μικροὶ καὶ ἄμορφοι, καὶ οἱ μὲν χρύσεοι, ὡς
others and small and ugly and some indeed golden as
ἐδόκουν, οἱ δὲ ταπεινοί τε καὶ εὐτελεῖς. ἦσαν δ᾽ ἐν
it-seemed others and mean both and cheap there-were and among
αὐτοῖς καὶ πτερωτοί τινες καὶ τερατώδεις, καὶ ἄλλοι
them also winged some and monstrous and others

καθάπερ ἐς πομπὴν διεσκευασμένοι, οἱ μὲν ἐς βασιλέας,
as-if for a-procession dressed-up some indeed as kings
οἱ δὲ ἐς θεούς, οἱ δὲ εἰς ἄλλα τοιαῦτα κεκοσμημένοι.
others and as gods others and as other such-things adorned
πολλοὺς δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν, πάλαι παρ' ἡμῖν
many and of-them also we-recognized long-ago among us
ἑωρακότες, οἳ δὴ καὶ προσῄεσαν καὶ ἠσπάζοντο ὡς
having-seen who indeed also came-up and greeted-us as
ἂν καὶ συνήθεις ὑπάρχοντες, καὶ παραλαβόντες ἡμᾶς καὶ
— *also acquaintances being and having-taken us and*
κατακοιμίσαντες πάνυ λαμπρῶς καὶ δεξιῶς ἐξένιζον, τήν
having-put-to-sleep very splendidly and kindly entertained the
τε ἄλλην ὑποδοχὴν μεγαλοπρεπῆ παρασκευάσαντες καὶ
both other reception magnificent having-prepared and
ὑπισχνούμενοι βασιλέας τε ποιήσειν καὶ σατράπας.
promising kings both to-be-going-to-make and satraps
ἔνιοι δὲ καὶ ἀπῆγον ἡμᾶς εἰς τὰς πατρίδας καὶ τοὺς
some and even took us to the homelands and the
οἰκείους ἐπεδείκνυον καὶ αὐθημερὸν ἐπανῆγον.
families showed and the-same-day brought-back
ἡμέρας μὲν οὖν τριάκοντα καὶ ἴσας νύκτας παρ' 35
days indeed then thirty and equal nights with
αὐτοῖς ἐμείναμεν καθεύδοντες εὐωχούμενοι. ἔπειτα δὲ
them we-stayed sleeping feasting then and
ἄφνω βροντῆς μεγάλης καταρραγείσης ἀνεγρόμενοι καὶ
suddenly thunder great having-burst having-awoken and
ἀναθορόντες ἀνήχθημεν ἐπισιτισάμενοι.
having-leapt-up we-put-out having-provisioned
Τριταῖοι δ' ἐκεῖθεν τῇ Ὠγυγίᾳ νήσῳ προσσχόντες
on-the-third-day and from-there at-the Ogygian island having-put-in
ἀπεβαίνομεν. πρότερον δ' ἐγὼ λύσας τὴν ἐπιστολὴν
we-landed first and I having-opened the letter

ἀνεγίνωσκον τὰ γεγραμμένα. ἦν δὲ τοιάδε· Ὀδυσσεὺς
read the-things written were and such Odysseus
Καλυψοῖ χαίρειν. ἴσθι με, ὡς τὰ πρῶτα ἐξέπλευσα παρὰ σοῦ
to-Calypso greeting know me as the first I-sailed from you
τὴν σχεδίαν κατασκευασάμενος, ναυαγίᾳ χρησάμενον μόλις
the raft having-built shipwreck having-suffered scarcely
ὑπὸ Λευκοθέας διασωθῆναι εἰς τὴν τῶν Φαιάκων χώραν,
by Leucothea to-have-been-saved into the of-the Phaeacians country
ὑφ' ὧν ἐς τὴν οἰκείαν ἀποπεμφθεὶς κατέλαβον πολλοὺς
by whom to the home having-been-sent I-found many
τῆς γυναικὸς μνηστῆρας ἐν τοῖς ἡμετέροις τρυφῶντας·
of-the wife suitors in the our-goods reveling
ἀποκτείνας δὲ ἅπαντας ὑπὸ Τηλεγόνου ὕστερον τοῦ ἐκ
having-killed and all by Telegonus later the from
Κίρκης μοι γενομένου ἀνῃρέθην, καὶ νῦν εἰμι ἐν τῇ Μακάρων
Circe to-me born I-was-killed and now I-am on the of-the-Blest
νήσῳ πάνυ μετανοῶν ἐπὶ τῷ καταλιπεῖν τὴν παρὰ σοὶ
island very-much repenting of the to-leave the with you
δίαιταν καὶ τὴν ὑπὸ σοῦ προτεινομένην ἀθανασίαν. ἢν οὖν
life and the by you offered immortality if then
καιροῦ λάβωμαι, ἀποδρὰς ἀφίξομαι πρὸς σέ. ταῦτα
an-occasion I-get having-run-away I-will-come to you these-things
μὲν ἐδήλου ἡ ἐπιστολή, καὶ περὶ ἡμῶν, ὅπως ξενισθῶμεν.
indeed conveyed the letter and about us that we-be-entertained

Calypso weeps over the letter and feasts them. Back at sea they escape Pumpkin-pirates and Nut-sailors and drive off robbers riding dolphins; they run aground on a halcyon's floating nest, see their mast sprout figs and grapes, carry the ship across a forest growing on the sea, and cross a chasm in the water by a bridge. They fight the Bull-heads, flee the man-eating Ass-legs of Cabalusa, and are wrecked on the continent opposite ours. What happened there, Lucian promises, the following books will tell.

ἐγὼ δὲ προελθὼν ὀλίγον ἀπὸ τῆς θαλάσσης εὗρον 36
I and having-gone-forward a-little from the sea found
τὸ σπήλαιον τοιοῦτον οἷον Ὅμηρος εἶπεν, καὶ αὐτὴν
the cave such as Homer said and herself
ταλασιουργοῦσαν. ὡς δὲ τὴν ἐπιστολὴν ἔλαβεν καὶ
spinning-wool when and the letter she-took and
ἐπελέξατο, πρῶτα μὲν ἐπὶ πολὺ ἐδάκρυεν, ἔπειτα δὲ
read-it first indeed for long she-wept then and
παρεκάλει ἡμᾶς ἐπὶ ξένια καὶ εἱστία λαμπρῶς καὶ
invited us to hospitality and feasted-us splendidly and
περὶ τοῦ Ὀδυσσέως ἐπυνθάνετο καὶ περὶ τῆς Πηνελόπης,
about — Odysseus asked and about — Penelope
ὁποία τε εἴη τὴν ὄψιν καὶ εἰ σωφρονοίη, καθάπερ
of-what-sort both she-was in-the looks and whether she-was-chaste as
Ὀδυσσεὺς πάλαι περὶ αὐτῆς ἐκόμπαζεν· καὶ ἡμεῖς τοιαῦτα
Odysseus long-ago about her boasted and we such-things
ἀπεκρινάμεθα, ἐξ ὧν εἰκάζομεν εὐφρανεῖσθαι αὐτήν.
answered from which we-guessed to-be-going-to-be-pleased her
Τότε μὲν οὖν ἀπελθόντες ἐπὶ ναῦν πλησίον ἐπὶ τῆς
then indeed then having-gone to the-ship near on the
ἠόνος ἐκοιμήθημεν.
shore we-slept

37 ἕωθεν δὲ ἀνηγόμεθα σφοδρότερον κατιόντος τοῦ πνεύματος·
at-dawn and we-put-out more-violently coming-down the wind
καὶ δὴ χειμασθέντες ἡμέρας δύο τῇ τρίτῃ περιπίπτομεν
and indeed storm-tossed days two on-the third we-fall-in-with
τοῖς Κολοκυνθοπειραταῖς. ἄνθρωποι δέ εἰσιν οὗτοι ἄγριοι
the Pumpkin-pirates men and are these savage
ἐκ τῶν πλησίον νήσων λῃστεύοντες τοὺς παραπλέοντας.
from the nearby islands robbing those sailing-by
τὰ πλοῖα δὲ ἔχουσι μεγάλα κολοκύνθινα τὸ μῆκος
the boats and they-have large of-pumpkin in-the length
πήχεων ἑξήκοντα· ἐπειδὰν γὰρ ξηράνωσι τὴν κολόκυνθαν,
of-cubits sixty when for they-dry the pumpkin
κοιλάναντες αὐτὴν καὶ ἐξελόντες τὴν ἐντεριώνην
having-hollowed it and having-taken-out the pulp
ἐμπλέουσιν, ἱστοῖς μὲν χρώμενοι καλαμίνοις, ἀντὶ δὲ
they-sail-in-it masts indeed using of-reed instead-of and
τῆς ὀθόνης τῷ φύλλῳ τῆς κολοκύνθης. προσβαλόντες
the sail the leaf of-the pumpkin having-attacked
οὖν ἡμῖν ἀπὸ δύο πληρωμάτων ἐμάχοντο καὶ πολλοὺς
then us from two crews they-fought and many
κατετραυμάτιζον βάλλοντες ἀντὶ λίθων τῷ σπέρματι
wounded throwing instead-of stones with-the seed
τῶν κολοκυνθῶν. ἀγχωμάλως δὲ ἐπὶ πολὺ ναυμαχοῦντες
of-the pumpkins evenly-matched and for long fighting-at-sea
περὶ μεσημβρίαν εἴδομεν κατόπιν τῶν Κολοκυνθοπειρατῶν
about midday we-saw behind the Pumpkin-pirates
προσπλέοντας τοὺς Καρυοναύτας. πολέμιοι δὲ ἦσαν
sailing-up the Nut-sailors enemies and they-were
ἀλλήλοις, ὡς ἔδειξαν· ἐπεὶ γὰρ κἀκεῖνοι ᾔσθοντο αὐτοὺς
to-one-another as they-showed when for those-too perceived them

ἐπιόντας, ἡμῶν μὲν ὠλιγώρησαν, τραπόμενοι δὲ ἐπ᾽
coming-on us indeed they-neglected having-turned and against
ἐκείνους ἐναυμάχουν.
those fought-at-sea
ἡμεῖς δὲ ἐν τοσούτῳ ἐπάραντες τὴν ὀθόνην ἐφεύγομεν 38
we and in the-meantime having-hoisted the sail fled
ἀπολιπόντες αὐτοὺς μαχομένους, καὶ δῆλοι ἦσαν κρατήσοντες
having-left them fighting and clear were going-to-win
οἱ Καρυοναῦται ἅτε καὶ πλείους — πέντε γὰρ εἶχον
the Nut-sailors since both more five for they-had
πληρώματα — καὶ ἀπὸ ἰσχυροτέρων νεῶν μαχόμενοι· τὰ
crews and from stronger ships fighting the
γὰρ πλοῖα ἦν αὐτοῖς κελύφη καρύων ἡμίτομα, κεκενωμένα,
for boats were their shells of-nuts halved emptied
μέγεθος δὲ ἑκάστου ἡμιτόμου εἰς μῆκος ὀργυιαὶ πεντεκαίδεκα.
size and of-each half in length fathoms fifteen
Ἐπεὶ δὲ ἀπεκρύψαμεν αὐτούς, ἰώμεθα τοὺς τραυματίας,
when and we-lost-sight-of them we-treated the wounded
καὶ τὸ λοιπὸν ἐν τοῖς ὅπλοις ὡς ἐπίπαν ἦμεν, ἀεί τινας
and the rest in the arms as a-rule we-were always some
ἐπιβουλὰς προσδεχόμενοι· οὐ μάτην.
attacks expecting not in-vain
οὔπω γοῦν ἐδεδύκει ὁ ἥλιος, καὶ ἀπό τινος ἐρήμου νήσου 39
not-yet at-any-rate had-set the sun and from a deserted island
προσήλαυνον ἡμῖν ὅσον εἴκοσι ἄνδρες ἐπὶ δελφίνων μεγάλων
rode-up at-us about twenty men on dolphins great
ὀχούμενοι, λῃσταὶ καὶ οὗτοι· καὶ οἱ δελφῖνες αὐτοὺς ἔφερον
riding robbers also these and the dolphins them carried
ἀσφαλῶς, καὶ ἀναπηδῶντες ἐχρεμέτιζον ὥσπερ ἵπποι. ἐπεὶ
securely and leaping-up neighed like horses when
δὲ πλησίον ἦσαν, διαστάντες οἱ μὲν ἔνθεν, οἱ δὲ ἔνθεν
and near they-were having-separated some indeed from-here others and from-there

ἔβαλλον ἡμᾶς σηπίαις ξηραῖς καὶ ὀφθαλμοῖς καρκίνων.
pelted us with-cuttlefish dry and eyes of-crabs
τοξευόντων δὲ καὶ ἡμῶν καὶ ἀκοντιζόντων οὐκέτι ὑπέμενον,
shooting and also we and throwing-javelins no-longer they-stood-firm
ἀλλὰ τρωθέντες οἱ πολλοὶ αὐτῶν πρὸς τὴν νῆσον κατέφυγον.
but wounded the most of-them to the island fled
40 Περὶ δὲ τὸ μεσονύκτιον γαλήνης οὔσης ἐλάθομεν
about and the midnight calm being unawares
προσοκείλαντες ἀλκυόνος καλιᾷ παμμεγέθει· σταδίων
ran-aground of-a-halcyon on-a-nest enormous of-stades
γοῦν ἦν αὕτη ἑξήκοντα τὸ περίμετρον. ἐπέπλεεν δὲ ἡ
at-any-rate was it sixty in-the circumference sailed-on-it and the
ἀλκυὼν τὰ ᾠὰ θάλπουσα οὐ πολὺ μείων τῆς καλιᾶς. καὶ
halcyon the eggs warming not much smaller than-the nest and
δὴ ἀναπταμένη μικροῦ μὲν κατέδυσε τὴν ναῦν τῷ ἀνέμῳ
indeed having-flown-up nearly indeed sank the ship with-the wind
τῶν πτερῶν. ᾤχετο δ᾽ οὖν φεύγουσα γοεράν τινα φωνὴν
of-the wings went and then fleeing mournful a cry
προϊεμένη. ἐπιβάντες δὲ ἡμεῖς ἡμέρας ἤδη ὑποφαινούσης
uttering having-stepped-onto(-it) and we day now dawning
ἐθεώμεθα τὴν καλιὰν σχεδίᾳ μεγάλῃ προσεοικυῖαν ἐκ
we-viewed the nest to-a-raft great like of
δένδρων μεγάλων συμπεφορημένην· ἐπῆν δὲ καὶ ᾠὰ
trees great heaped-together there-were-on-it and also eggs
πεντακόσια, ἕκαστον αὐτῶν Χίου πίθου περιπληθέστερον.
five-hundred each of-them than-a-Chian jar bulkier
ἤδη μέντοι καὶ οἱ νεοττοὶ ἔνδοθεν ἐφαίνοντο καὶ ἔκρωζον.
already however also the chicks inside appeared and croaked
πελέκεσιν γοῦν διακόψαντες ἓν τῶν ᾠῶν νεοττὸν
with-axes at-any-rate having-cut-open one of-the eggs a-chick
ἄπτερον ἐξεκολάψαμεν εἴκοσι γυπῶν ἁδρότερον.
unfledged we-hatched-out than-twenty vultures bigger

Ἐπεὶ δὲ πλέοντες ἀπείχομεν τῆς καλιᾶς ὅσον σταδίους 41
when and sailing we-were-distant from-the nest about stades
διακοσίους, τέρατα ἡμῖν μεγάλα καὶ θαυμαστὰ ἐπεσήμανεν·
two-hundred portents to-us great and marvelous appeared
ὅ τε γὰρ ἐν τῇ πρύμνῃ χηνίσκος ἄφνω ἐπτερύξατο καὶ
the both for on the stern goose-figure suddenly flapped-its-wings and
ἀνεβόησεν, καὶ ὁ κυβερνήτης ὁ Σκίνθαρος φαλακρὸς ἤδη
cried-out and the helmsman — Scintharus bald already
ὢν ἀνεκόμησεν, καὶ τὸ πάντων δὴ παραδοξότατον, ὁ
being grew-hair-again and the of-all indeed most-marvelous the
γὰρ ἱστὸς τῆς νεὼς ἐξεβλάστησεν καὶ κλάδους ἀνέφυσεν
for mast of-the ship sprouted and branches put-forth
καὶ ἐπὶ τῷ ἄκρῳ ἐκαρποφόρησεν, ὁ δὲ καρπὸς ἦν σῦκα
and at the top bore-fruit the and fruit was figs
καὶ σταφυλὴ μέλαινα, οὔπω πέπειρος. ταῦτα ἰδόντες
and a-grape-cluster black not-yet ripe these-things having-seen
ὡς εἰκὸς ἐταράχθημεν καὶ ηὐχόμεθα τοῖς θεοῖς διὰ τὸ
as likely we-were-alarmed and prayed to-the gods because-of the
ἀλλόκοτον τοῦ φαντάσματος.
strangeness of-the portent
οὔπω δὲ πεντακοσίους σταδίους διελθόντες εἴδομεν ὕλην 42
not-yet and five-hundred stades having-gone we-saw a-forest
μεγίστην καὶ λάσιον πιτύων καὶ κυπαρίττων. καὶ ἡμεῖς
very-large and dense of-pines and cypresses and we
μὲν εἰκάσαμεν ἤπειρον εἶναι· τὸ δ' ἦν πέλαγος ἄβυσσον
indeed guessed mainland to-be it but was sea bottomless
ἀρρίζοις δένδροις καταπεφυτευμένον· εἱστήκει δὲ τὰ δένδρα
with-rootless trees planted stood and the trees
ὅμως ἀκίνητα, ὀρθὰ καθάπερ ἐπιπλέοντα. πλησιάσαντες
nevertheless motionless upright as-if floating having-approached
δ' οὖν καὶ τὸ πᾶν κατανοήσαντες ἐν ἀπόρῳ εἰχόμεθα τί
and then and the whole having-observed in a-quandary we-were what

χρὴ δρᾶν· οὔτε γὰρ διὰ τῶν δένδρων πλεῖν δυνατὸν ἦν
one-must to-do neither for through the trees to-sail possible was
— πυκνὰ γὰρ καὶ προσεχῆ ὑπῆρχεν — οὔτε ἀναστρέφειν
thick for and close-set they-were nor to-turn-back
ἐδόκει ῥᾴδιον· ἐγὼ δὲ ἀνελθὼν ἐπὶ τὸ μέγιστον δένδρον
seemed easy I and having-climbed up the tallest tree
ἀπεσκόπουν τὰ ἐπέκεινα ὅπως ἔχοι, καὶ ἑώρων ἐπὶ
looked-out-at the-things beyond how they-were and I-saw for
σταδίους μὲν πεντήκοντα ἢ ὀλίγῳ πλείους τὴν ὕλην οὖσαν,
stades indeed fifty or a-little more the forest being
ἔπειτα δὲ αὖθις ἕτερον ὠκεανὸν ἐκδεχόμενον. καὶ δὴ
then and again another ocean following and indeed
ἐδόκει ἡμῖν ἀναθεμένους τὴν ναῦν ἐπὶ τὴν κόμην τῶν
it-seemed-good to-us having-lifted the ship onto the foliage of-the
δένδρων — πυκνὴ δὲ ἦν — ὑπερβιβάσαι, εἰ δυναίμεθα, εἰς
trees thick and it-was to-bring-over if we-could into
τὴν θάλατταν τὴν ἑτέραν· καὶ οὕτως ἐποιοῦμεν. ἐκδήσαντες
the sea the other and so we-did having-tied
γὰρ αὐτὴν κάλῳ μεγάλῳ καὶ ἀνελθόντες ἐπὶ τὰ δένδρα
for it with-a-rope great and having-climbed up the trees
μόλις ἀνιμησάμεθα, καὶ θέντες ἐπὶ τῶν κλάδων, πετάσαντες
scarcely we-hauled-it-up and having-set-it on the branches having-spread
τὰ ἱστία καθάπερ ἐν θαλάττῃ ἐπλέομεν τοῦ ἀνέμου
the sails as on the-sea we-sailed the wind
προωθοῦντος ἐπισυρόμενοι· ἔνθα δὴ καὶ τὸ Ἀντιμάχου τοῦ
pushing dragged-along where indeed also the of-Antimachus the
ποιητοῦ ἔπος ἐπεισῆλθέ με — φησὶν γάρ που κἀκεῖνος·
poet verse came-into-mind me says for somewhere he-too

τοῖσιν δ' ὑλήεντα διὰ πλόον ἐρχομένοισιν.
to-them and woody through voyage going

Βιασάμενοι δὲ ὅμως τὴν ὕλην ἀφικόμεθα ἐς τὸ ὕδωρ, καὶ 43
having-forced and nevertheless the forest we-came to the water and
πάλιν ὁμοίως καθέντες τὴν ναῦν ἐπλέομεν διὰ καθαροῦ
again likewise having-let-down the ship we-sailed through clean
καὶ διαυγοῦς ὕδατος, ἄχρι δὴ ἐπέστημεν χάσματι μεγάλῳ
and clear water until indeed we-came-to a-chasm great
ἐκ τοῦ ὕδατος διεστῶτος γεγενημένῳ, καθάπερ ἐν τῇ γῇ
from the water parted made as on the land
πολλάκις ὁρῶμεν ὑπὸ σεισμῶν γενόμενα διαχωρίσματα. ἡ
often we-see by earthquakes made rifts the
μὲν οὖν ναῦς καθελόντων ἡμῶν τὰ ἱστία οὐ ῥᾳδίως ἔστη
indeed then ship having-lowered we the sails not easily stopped
παρ᾽ ὀλίγον ἐλθοῦσα κατενεχθῆναι. ὑπερκύψαντες δὲ ἡμεῖς
by little having-come to-be-carried-down having-peered-over and we
ἑωρῶμεν βάθος ὅσον σταδίων χιλίων μάλα φοβερὸν καὶ
saw a-depth about stades thousand very fearful and
παράδοξον· εἱστήκει γὰρ τὸ ὕδωρ ὥσπερ μεμερισμένον·
strange stood for the water as-if divided
περιβλέποντες δὲ ὁρῶμεν κατὰ δεξιὰ οὐ πάνυ πόρρωθεν
looking-around and we-see on the-right not very far-off
γέφυραν ἐπεζευγμένην ὕδατος συνάπτοντος τὰ πελάγη
a-bridge spanning water joining the seas
κατὰ τὴν ἐπιφάνειαν, ἐκ τῆς ἑτέρας θαλάττης εἰς τὴν
at the surface from the one sea into the
ἑτέραν διαρρέοντος. προσελάσαντες οὖν ταῖς κώπαις
other flowing-across having-rowed-up then with-the oars
κατ᾽ ἐκεῖνο παρεδράμομεν καὶ μετὰ πολλῆς ἀγωνίας
at that-place we-ran-across and with much anguish
ἐπεράσαμεν οὔποτε προσδοκήσαντες.
crossed never having-expected-it

44 Ἐντεῦθεν ἡμᾶς ὑπεδέχετο πέλαγος προσηνὲς καὶ νῆσος
thence us received a-sea gentle and an-island
οὐ μεγάλη, εὐπρόσιτος, συνοικουμένη· ἐνέμοντο δὲ αὐτὴν
not large easy-of-access inhabited inhabited and it
ἄνθρωποι ἄγριοι, Βουκέφαλοι, κέρατα ἔχοντες, οἷον παρ᾽
men savage Bull-heads horns having as among
ἡμῖν τὸν Μινώταυρον ἀναπλάττουσιν. ἀποβάντες δὲ
us the Minotaur they-picture having-landed and
προῄειμεν ὑδρευσόμενοι καὶ σιτία ληψόμενοι, εἴ ποθεν
we-went-on to-get-water and food to-get if from-anywhere
δυνηθείημεν· οὐκέτι γὰρ εἴχομεν. καὶ ὕδωρ μὲν αὐτοῦ
we-could no-longer for we-had-any and water indeed there
πλησίον εὕρομεν, ἄλλο δὲ οὐδὲν ἐφαίνετο, πλὴν μυκηθμὸς
near we-found else but nothing appeared except-that a-bellowing
πολὺς οὐ πόρρωθεν ἠκούετο. δόξαντες οὖν ἀγέλην εἶναι
loud not far-off was-heard having-thought then a-herd to-be
βοῶν, κατ᾽ ὀλίγον προχωροῦντες ἐπέστημεν τοῖς ἀνθρώποις.
of-cattle little-by little advancing we-came-upon the men
οἱ δὲ ἰδόντες ἡμᾶς ἐδίωκον, καὶ τρεῖς μὲν τῶν ἑταίρων
they and having-seen us chased-us and three indeed of-the comrades
λαμβάνουσιν, οἱ δὲ λοιποὶ πρὸς τὴν θάλατταν κατεφεύγομεν.
they-catch the and rest to the sea fled
εἶτα μέντοι πάντες ὁπλισάμενοι — οὐ γὰρ ἐδόκει
then however all having-armed not for it-seemed-right
ἡμῖν ἀτιμωρήτους περιδεῖν τοὺς φίλους — ἐμπίπτομεν
to-us unavenged to-leave the friends we-fall-upon
τοῖς Βουκεφάλοις τὰ κρέα τῶν ἀνῃρημένων διαιρουμένοις·
the Bull-heads the flesh of-the slain dividing
φοβήσαντες δὲ πάντας διώκομεν, καὶ κτείνομέν γε
having-frightened and all we-chase and kill at-least
ὅσον πεντήκοντα καὶ ζῶντας αὐτῶν δύο λαμβάνομεν, καὶ
about fifty and alive of-them two we-take and

αὖθις ὀπίσω ἀναστρέφομεν τοὺς αἰχμαλώτους ἔχοντες.
again back we-return the captives having
σιτίον μέντοι οὐδὲν εὕρομεν. οἱ μὲν οὖν ἄλλοι παρῄνουν
food however none we-found the indeed then others urged
ἀποσφάττειν τοὺς εἰλημμένους, ἐγὼ δὲ οὐκ ἐδοκίμαζον,
to-slaughter those captured I but not approved
ἀλλὰ δήσας ἐφύλαττον αὐτούς, ἄχρι δὴ ἀφίκοντο
but having-bound I-kept them until indeed came
παρὰ τῶν Βουκεφάλων πρέσβεις ἀπαιτοῦντες ἐπὶ λύτροις
from the Bull-heads envoys asking-back for ransom
τοὺς συνειλημμένους· συνίεμεν γὰρ αὐτῶν διανευόντων καὶ
those captured we-understood for them nodding and
γοερόν τι μυκωμένων ὥσπερ ἱκετευόντων. τὰ λύτρα δὲ
a-mournful something bellowing as-if begging the ransom and
ἦν τυροὶ πολλοὶ καὶ ἰχθύες ξηροὶ καὶ κρόμμυα καὶ ἔλαφοι
was cheeses many and fish dried and onions and deer
τέτταρες, τρεῖς ἑκάστη πόδας ἔχουσα, δύο μὲν τοὺς ὀπίσω,
four three each feet having two indeed the hind-ones
οἱ δὲ πρόσω συνεπεφύκεσαν. ἐπὶ τούτοις ἀποδόντες τοὺς
the and front-ones had-grown-together on these-terms having-given-back those
συνειλημμένους καὶ μίαν ἡμέραν ἐπιμείναντες ἀνήχθημεν.
captured and one day having-stayed we-put-out
Ἤδη δὲ ἰχθύες τε ἡμῖν ἐφαίνοντο καὶ ὄρνεα παρεπέτετο 45
now and fish both to-us appeared and birds flew-alongside
καὶ ἄλλ᾽ ὁπόσα γῆς πλησίον οὖσης σημεῖα προφαίνεται.
and other whatever land near being signs show-themselves
μετ᾽ ὀλίγον δὲ καὶ ἄνδρας εἴδομεν καινῷ τῳ τρόπῳ
after a-little and also men we-saw a-novel some manner
ναυτιλίας χρωμένους· αὐτοὶ γὰρ καὶ ναῦται καὶ νῆες ἦσαν.
of-seafaring using themselves for both sailors and ships they-were
λέξω δὲ τοῦ πλοῦ τὸν τρόπον· ὕπτιοι κείμενοι ἐπὶ τοῦ
I-will-tell and of-the sailing the manner on-their-backs lying on the

ὕδατος ὀρθώσαντες τὰ αἰδοῖα — μεγάλα δὲ φέρουσιν
water having-raised the privates large and they-carry-them
— ἐξ αὐτῶν ὀθόνην πετάσαντες καὶ ταῖς χερσὶν τοὺς
from them sail having-spread and with-the hands the
ποδεῶνας κατέχοντες ἐμπίπτοντος τοῦ ἀνέμου ἔπλεον.
sheets holding falling-on the wind they-sailed
ἄλλοι δὲ μετὰ τούτους ἐπὶ φελλῶν καθήμενοι ζεύξαντες
others and after these on corks sitting having-yoked
δύο δελφῖνας ἤλαυνόν τε καὶ ἡνιόχουν· οἱ δὲ προιόντες
two dolphins drove both and steered they and going-forward
ἐπεσύροντο τοὺς φελλούς. οὗτοι ἡμᾶς οὔτε ἠδίκουν οὔτε
towed the corks these us neither wronged nor
ἔφευγον, ἀλλ᾽ ἤλαυνον ἀδεῶς τε καὶ εἰρηνικῶς τὸ εἶδος τοῦ
fled but drove fearlessly both and peaceably the shape of-the
ἡμετέρου πλοίου θαυμάζοντες καὶ πάντοθεν περισκοποῦντες.
our boat wondering-at and from-all-sides looking-it-over
46 Ἑσπέρας δὲ ἤδη προσήχθημεν νήσῳ οὐ μεγάλῃ·
in-the-evening and now we-put-in at-an-island not large
κατῳκεῖτο δὲ ὑπὸ γυναικῶν, ὡς ἐνομίζομεν, Ἑλλάδα
it-was-inhabited and by women as we-thought Greek
φωνὴν προιεμένων· προσῄεσαν γὰρ καὶ ἐδεξιοῦντο καὶ
tongue speaking they-came-up for and welcomed and
ἠσπάζοντο, πάνυ ἑταιρικῶς κεκοσμημέναι καὶ καλαὶ
greeted very like-courtesans adorned and beautiful
πᾶσαι καὶ νεάνιδες, ποδήρεις τοὺς χιτῶνας ἐπισυρόμεναι.
all and young ankle-length the tunics trailing
ἡ μὲν οὖν νῆσος ἐκαλεῖτο Καβαλοῦσα, ἡ δὲ πόλις
the indeed then island was-called Cabalusa the and city
αὐτὴ Ὑδαμαρδία. λαβοῦσαι δ᾽ οὖν ἡμᾶς αἱ γυναῖκες
itself Hydamardia having-taken and then us the women
ἑκάστη πρὸς ἑαυτὴν ἀπῆγεν καὶ ξένον ἐποιεῖτο. ἐγὼ δὲ
each to herself led-off and guest made-him I but

μικρὸν ἀποστὰς — οὐ γὰρ χρηστὰ ἐμαντευόμην —
a-little having-stood-apart not for good-things I-foreboded
ἀκριβέστερόν τε περιβλέπων ὁρῶ πολλῶν ἀνθρώπων ὀστᾶ
more-closely both looking-around I-see of-many men bones
καὶ κρανία κείμενα. καὶ τὸ μὲν βοὴν ἱστάναι καὶ τοὺς
and skulls lying and the indeed an-outcry to-raise and the
ἑταίρους συγκαλεῖν καὶ ἐς τὰ ὅπλα χωρεῖν οὐκ ἐδοκίμαζον.
comrades to-call-together and to the arms to-go not I-approved
προχειρισάμενος δὲ τὴν μαλάχην πολλὰ ηὐχόμην αὐτῇ
having-taken-in-hand and the mallow much I-prayed to-it
διαφυγεῖν ἐκ τῶν παρόντων κακῶν· μετ᾽ ὀλίγον δὲ τῆς
to-escape from the present evils after a-little and the
ξένης διακονουμένης εἶδον τὰ σκέλη οὐ γυναικός, ἀλλ᾽ ὄνου
hostess serving I-saw the legs not of-a-woman but of-an-ass
ὁπλάς· καὶ δὴ σπασάμενος τὸ ξίφος συλλαμβάνω τε αὐτὴν
hoofs and indeed having-drawn the sword I-seize both her
καὶ δήσας περὶ τῶν ὅλων ἀνέκρινον. ἡ δέ, ἄκουσα
and having-bound about the whole-matter questioned-her she and unwilling
μέν, εἶπεν δὲ ὅμως, αὐτὰς μὲν εἶναι θαλαττίους γυναῖκας
indeed said but nevertheless themselves indeed to-be of-the-sea women
Ὀνοσκελέας προσαγορευομένας, τροφὴν δὲ ποιεῖσθαι τοὺς
Ass-legs called food and to-make the
ἐπιδημοῦντας ξένους. ἐπειδὰν γάρ, ἔφη, μεθύσωμεν αὐτούς,
visiting strangers when for she-said we-make-drunk them
συνευνηθεῖσαι κοιμωμένοις ἐπιχειροῦμεν. ἀκούσας δὲ ταῦτα
having-bedded-with sleeping we-attack having-heard and these-things
ἐκείνην μὲν αὐτοῦ κατέλιπον δεδεμένην, αὐτὸς δὲ ἀνελθὼν
her indeed there I-left bound myself and having-gone-up
ἐπὶ τὸ τέγος ἐβόων τε καὶ τοὺς ἑταίρους συνεκάλουν. ἐπεὶ
onto the roof shouted both and the comrades called-together when
δὲ συνῆλθον, τὰ πάντα ἐμήνυον αὐτοῖς καὶ τά τε
and they-came-together the-things all I-disclosed to-them and the both

ὀστᾶ ἐδείκνυον καὶ ἦγον ἔσω πρὸς τὴν δεδεμένην· ἡ δὲ
bones showed and led-them inside to the bound-one she but
αὐτίκα ὕδωρ ἐγένετο καὶ ἀφανὴς ἦν. ὅμως δὲ τὸ ξίφος
at-once water became and vanished was nevertheless and the sword
εἰς τὸ ὕδωρ καθῆκα πειρώμενος· τὸ δὲ αἷμα ἐγένετο.
into the water I-thrust testing the and blood became
47 Ταχέως οὖν ἐπὶ ναῦν κατελθόντες ἀπεπλεύσαμεν. καὶ ἐπεὶ
quickly then to the-ship having-gone-down we-sailed-off and when
ἡμέρα ὑπηύγαζε, τήν τε ἤπειρον ἀπεβλέπομεν εἰκάζομέν
day was-dawning the both continent we-made-out we-guessed
τε εἶναι τὴν ἀντιπέρας τῇ ὑφ' ἡμῶν οἰκουμένῃ
and to-be the-one opposite to-the-one by us inhabited
κειμένην. προσκυνήσαντες δ' οὖν καὶ προσευξάμενοι περὶ
lying having-made-obeisance and then and having-prayed about
τῶν μελλόντων ἐσκοποῦμεν, καὶ τοῖς μὲν ἐδόκει
the future we-considered and to-some indeed it-seemed-best
ἐπιβᾶσιν μόνον αὖθις ὀπίσω ἀναστρέφειν, τοῖς δὲ τὸ μὲν
having-landed only again back to-turn to-others and the indeed
πλοῖον αὐτοῦ καταλιπεῖν, ἀνελθόντας δὲ ἐς τὴν μεσόγαιαν
boat there to-leave having-gone-up and into the interior
πειραθῆναι τῶν ἐνοικούντων. ἐν ὅσῳ δὲ ταῦτα ἐλογιζόμεθα,
to-make-trial-of the inhabitants in while and these-things we-were-debating
χειμὼν σφοδρὸς ἐπιπεσὼν καὶ προσαράξας τὸ σκάφος
a-storm violent having-fallen-upon-us and having-dashed the boat
τῷ αἰγιαλῷ διέλυσεν. ἡμεῖς δὲ μόλις ἐξενηξάμεθα τὰ
on-the beach broke-it-up we and scarcely swam-out the
ὅπλα ἕκαστος καὶ εἴ τι ἄλλο οἷός τε ἦν ἁρπασάμενοι.
arms each and if anything else able — he-was having-snatched-up
Ταῦτα μὲν οὖν τὰ μέχρι τῆς ἑτέρας γῆς συνενεχθέντα
these indeed then the-things as-far-as the other land having-befallen
μοι ἐν τῇ θαλάττῃ καὶ παρὰ τὸν πλοῦν ἐν ταῖς νήσοις
me on the sea and during the voyage on the islands

καὶ ἐν τῷ ἀέρι καὶ μετὰ ταῦτα ἐν τῷ κήτει καὶ ἐπεὶ
and in the air and after these-things in the whale and when
ἐξήλθομεν, παρά τε τοῖς ἥρωσι καὶ τοῖς ὀνείροις καὶ τὰ
we-came-out among both the heroes and the dreams and the
τελευταῖα παρὰ τοῖς Βουκεφάλοις καὶ ταῖς Ὀνοσκελέαις,
last among the Bull-heads and the Ass-legs
τὰ δὲ ἐπὶ τῆς γῆς ἐν ταῖς ἑξῆς βίβλοις διηγήσομαι.
the-things and on the land in the following books I-will-relate

---